# ΠΕΡΙ ΤΟΥ ΕΝ ΙΕΡΟΣΟΛΥΜΟΙΣ ΑΓΙΟΥ ΦΩΤΟΣ

Ἐν τῷ ὑπ' ἀριθ. 1457 χειρογράφῳ τῆς ἡμετέρας Ἐθνικῆς Βιβλιοθήκης ἀπὸ σελίδος 1648-1664 εὑρίσκομεν ἀξιοσπούδαστον διατριβὴν περὶ τοῦ ἐν Ἱεροσολύμοις ἁγίου φωτὸς ὑπὸ τὴν ἐπιγραφὴν «Περὶ τοῦ ἐπιταφίου φωτός».

Ὁ κῶδιξ ὑπ' ἀριθμὸν 1457 μετὰ τοῦ ὑπ' ἀριθμὸν 1458 καὶ τρίτου τινὸς ἀπολεσθέντος [1], ἀποτελοῦσι νομοκανονικὸν ἔργον, γραφέν, κατὰ πᾶσαν πιθανότητα, ὑπὸ τοῦ Νεοφύτου Καυσοκαλυβίτου, ὡς ἀπέδειξα ἐν τῇ διατριβῇ μου «Ἐκ τῶν νομοκανονικῶν χειρογράφων τῆς βιβλιοθήκης τοῦ Πανεπιστημίου τὰ ὑπ' ἀριθμὸν 1457 καὶ 1458», τῇ δημοσιευθείσῃ ἐν τῇ ἑβδομηκονταπενταετηρίδι τῆς Ριζαρείου ἐκκλησιαστικῆς σχολῆς [2].

Ἀσχέτως πρὸς τὸ περιεχόμενον τοῦ νομοκανονικοῦ τούτου ἔργου παρεντίθεται ἀπὸ σελίδος 1648-1664 ἡ ἀνωτέρω μνημονευθεῖσα διατριβὴ περὶ τοῦ ἐπιταφίου φωτὸς διακόπτουσα οὕτω τὴν συνέχειαν τοῦ νομοκάνονος, οὗτινος ἡ συνέχεια [3] τῆς σελίδος 1647 πρέπει νὰ ζητηθῇ εἰς τὴν σελίδα 1666.

Ὡς φαίνεται ἡ ἀρίθμησις τοῦ νομοκάνονος ἐγένετο μετὰ ταῦτα, καθ' ἣν δηλαδὴ ἐποχὴν ἐξ ἀπροσεξίας εἶχε παρεντεθῆ ἡ περὶ τοῦ ἐπιταφίου φωτὸς διατριβή, ἥτις, ἀποτελοῦσα ἰδίαν διατριβὴν ἐξ ὀκτὼ φύλλων, παρεντεθεῖσα εἰς τὸν νομοκάνονα, ἠριθμήθη ὡς νὰ ἀπετέλει μέρος αὐτοῦ.

Ἡ πραγματεία αὕτη συνδέεται στενῶς πρὸς τὸ νομοκανονικὸν ἔργον, τὸ περιεχόμενον εἰς τοὺς μνημονευθέντας κώδικας, οὐ μόνον διότι ἡ γλῶσσα καὶ

---

[1] Ὀρθῶς ὁ Σακελλίων ἐν τῷ ἑαυτοῦ καταλόγῳ τῶν χειρογράφων τῆς Ἐθνικῆς βιβλιοθήκης τῆς Ἑλλάδος (σ. 260) ἐκ τῆς ἀριθμήσεως τῶν σελίδων τῶν δύο τούτων χειρογράφων, τοῦ μὲν ἀρχομένου ἀπὸ σελίδος 552-1243, τοῦ δὲ ἀπὸ σελίδος 1244-1945 συμπεραίνει ὅτι τῶν δύο τούτων κωδίκων προηγεῖτο τρίτος, ὅστις, ἀρχόμενος ἀπὸ σελίδος 1-551 ἀπετέλει τὸν πρῶτον τόμον τοῦ ὅλου ἔργου. Κατὰ ταῦτα τὸ ὅλον ἔργον ἀπετελεῖτο ἐκ τριῶν τόμων, ὧν, ἀπολεσθέντος τοῦ πρώτου, σῴζονται οἱ δύο τελευταῖοι. Τοὐναντίον ἐξ ἀβλεψίας ὁ Σακελλίων ἔχει ἐσφαλμένως ἀριθμήσει τοὺς δύο σῳζομένους τόμους, τοῦ δευτέρου τούτων, τοῦ ἀρχομένου ἀπὸ τῆς σελίδος 552-1243 φέροντος τὸν ἀριθμὸν 1458 καὶ τοῦ τρίτου, τοῦ ἀρχομένου ἀπὸ σελίδος 1244—1954 φέροντος τὸν ἀριθμὸν 1457.

[2] Ἐν Ἀθήναις 1920 σ. 185-202. Ἡ περιγραφὴ τῶν δύο τούτων χειρογράφων ἔνθ' ἀν. σ. 185-189.

[3] Ἡ σελὶς 1647 τελευτᾷ «τότε γὰρ καὶ μόνον καὶ κατὰ τὸν Χρυσόστομον ἀπαλλαττόμεθα τῆς ἐπὶ τοῖς σκανδαλιζομένοις κειμένης τιμωρίας, ὅταν ἐκ τοῦ σκανδάλου κέρδος» ἡ δὲ σελὶς 1666 ἄρχεται «λου κέρδος ἕτερον τίθεται τῆς ἀπὸ τοῦ σκανδάλου βλάβης μεῖζον». Ἀπὸ τῆς σελίδος 1648 ἄρχεται ἡ διατριβὴ περὶ τοῦ ἐπιταφίου φωτὸς καὶ τελευτᾷ εἰς τὴν σελίδα 1664 οὕτως ὥστε ἡ σελὶς 1665 μένει ἄγραφος.

Institutional Repository - Library & Information Centre - University of Thessaly
11/05/2024 23:32:26 EEST - 3.15.2.13

αἱ ἰδέαι τῶν δύο τούτων ἔργων συμφωνοῦσιν [1], ἀλλὰ καὶ διότι ὁ γράψας τὴν περὶ τοῦ ἐπιταφίου φωτὸς πραγματείαν ἦν, ὡς καὶ ὁ γράψας τὸ νομοκανονικὸν ἔργον, μαθητὴς τοῦ Γερασίμου [2] καὶ διέμενε κατὰ τὴν ἐποχὴν ἐκείνην ἐν Βουκουρεστίῳ [3]. Κατὰ ταῦτα ὁ συγγραφεὺς ταύτης καὶ ὁ τοῦ νομοκανονικοῦ ἔργου εἶναι εἷς καὶ ὁ αὐτός. Ἐπειδὴ ὅμως, ὡς ἀλλαχοῦ ἐδείχθη [4], συγγραφεὺς τοῦ νομοκανονικοῦ ἔργου εἶναι ὁ Νεόφυτος ὁ Καυσοκαλυβίτης καὶ τῆς περὶ τοῦ ἐπιταφίου φωτὸς διατριβῆς συγγραφεὺς εἶναι ὁ αὐτὸς Νεόφυτος, ὅστις, ὡς γνωστόν, εἶχε γράψει, μεταξὺ ἄλλων, καὶ πραγματείαν φέρουσαν ἐπιγραφὴν «Περὶ τοῦ ἐπιταφίου φωτός» [5]. Κατὰ ταῦτα συγγραφεὺς τῆς ἡμετέρας διατριβῆς εἶναι ὁ Νεόφυτος Καυσοκαλυβίτης.

Περὶ τοῦ ἐν Ἱεροσολύμοις ἁγίου φωτὸς ἔχουσι γραφῆ πολλά, περιέχοντα ἰδίᾳ εἰδήσεις περὶ τῆς τελετῆς τοῦ ἁγίου φωτὸς καὶ μαρτυρίας περὶ τῆς πραγματικότητος αὐτοῦ [6]. Παρὰ ταύτας ἀπὸ μακροῦ ὑπῆρχον ἀμφιβολίαι περὶ τῆς

---

[1] Πρβλ. ἰδίᾳ σελ. 1635 ἑ. ἔνθα γίνεται λόγος περὶ τῆς σημασίας τῆς μεταβάσεως εἰς τὰ Ἱεροσόλυμα καὶ σελ. 1782 ἔνθα, μεταξὺ ἄλλων, περὶ τοῦ ἐπιταφίου ἐν Ἱεροσολύμοις φωτὸς γέγραπται· «ὃς (Ἐφραὶμ) καὶ περὶ τοῦ ἐν Ἱεροσολύμοις ἐπιταφίου ἐκείνου φωτὸς παρά του τῶν ἔσω λόγων κατ' ἰδίαν ἐρωτηθείς, ἀπεκρίνατό οἱ ὡς εἴ γε ἐπ' ἐμοὶ ἦν, φησι, κατήργησα ἂν καὶ τὴν ἐκείνου χειροποίητον μηχανουργίαν» ἀκριβῶς δηλαδὴ ὡς καὶ ἐν τῇ ἡμετέρᾳ περὶ τοῦ ἐπιταφίου φωτὸς διατριβῇ γέγραπται ἐν ἀρχῇ· «Ἐφραὶμ τῶν Ἱεροσολύμων πατριάρχης, ὁ ἐξ Ἀθηνῶν, ἐρωτηθεὶς ἐν Βουκουρεστίῳ τῆς Οὐγγροβλαχίας κατὰ τὸ ͵αψξθ' παρά του τῶν ἔσω λόγων κατ' ἰδίαν περὶ τοῦ ἐν Ἱεροσολύμοις ἐπιταφίου ἐκείνου φωτὸς ἀπεκρίνατό οἱ ἐνδημούντων τὸ τηνικαῦτα ἐκεῖ καὶ ἡμῶν, ὡς εἴ γέ, φησιν, ἐν ἐμοὶ ἦν, κατήργησα ἂν καὶ τὴν ἐκείνου χειροποίητον μηχανουργίαν».

[2] Πρβλ. τὰ ἐν ἀρχῇ τοῦ περὶ τοῦ ἐπιταφίου φωτὸς ἔργου γεγραμμένα· «περιστήσας ἐν τῇ νήσῳ Πάτμῳ τοὺς ἐν τῇ σχολῇ μαθητὰς σχολαρχοῦντος ἐκεῖσε τοῦ ἀοιδίμου ἐκείνου καὶ ἐν Ἱεροσολύμοις ἡγιασμένου Γερασίμου, ᾧ καὶ αὐτὸς τὸ τηνικαῦτα ἐμαθήτευον» πρὸς τὰ ἐν σελ. 1781 τοῦ νομοκανονικοῦ ἔργου γεγραμμένα· «ὃς (Ἐφραὶμ) σὺν ἡμῖν ἐν τῷ ἐν τῇ νήσῳ Πάτμῳ σχολαρχήσαντι ἡγιασμένῳ ἐμαθήτευσεν».

[3] Πρβλ. τὰ ἐν σελ. 1781 γεγραμμένα· «ἔλεγε γὰρ ἡμῖν (ὁ Ἐφραὶμ) ἐν Βουκουρεστίῳ τῆς Οὐγγροβλαχίας ἐπιδημήσας κατὰ τὸ ͵αψξη'».

[4] Ἔνθ' ἀν. σελ. 192 ἑ.

[5] Πρβλ. Σάθα, Νεοελ. φιλολ. σ. 512 ἔνθα μάλιστα προστίθεται «χειρόγραφον παρὰ Σοφ. Οἰκονόμῳ».

[6] Πρβλ. ἰδίᾳ Χρυσ. Παπαδοπούλου, Ἱστορία τῆς ἐκκλησίας τῶν Ἱεροσολύμων σ. 309 ἑ. Τ. Π. Θέμελη, Ἡ τελετὴ τοῦ ἁγίου φωτὸς ἐν τῇ ἑκατονταετηρίδι τοῦ πανιέρου ναοῦ τῆς ἀναστάσεως σ. 115-118. Ἀρχ. Καλλίστου, «Τὸ ἅγιον φῶς» ἐν Νέᾳ Σιὼν τόμ. 28 (τοῦ 1933) σ. 238 ἑ. Ἁγιοταφίτου, Αἱ σύγχρονοι τελεταὶ τῆς ἐκκλησίας Ἱεροσολύμων Ε', Ἡ τελετὴ τοῦ ἁγίου φωτός, ἐν Νέᾳ Σιὼν τόμ. Α' (τοῦ 1904) σ. 385 ἑ. Ἄξιον σημειώσεως εἶναι ἐνταῦθα ὅτι ὁ Παΐσιος Λιγαρίδης βεβαιοῖ τὰ τοῦ ἁγίου φωτὸς ὡς αὐτόπτης μάρτυς «καὶ τὸ εἶδα καὶ ἐγὼ (τὸ ἅγιον φῶς) καὶ ὁ ἑωρακὼς μεμαρτύρηκε καὶ ἀληθινή ἐστιν ἡ μαρτυρία αὐτοῦ» Πρβλ. τὴν ἐμὴν διατριβὴν «Παϊσίου Λιγαρίδου λόγοι ἀνέκδοτοι» ἐν Νέᾳ Σιὼν τοῦ 1922 σ. 387 ἑ. Πρβλ. ἔτι ἰδίᾳ ὡς πρὸς τὰς μεταξὺ Ἑλλήνων καὶ Ἀρμενίων ἔριδας περὶ τῆς τελετῆς τοῦ ἁγίου φωτὸς Παπαδοπούλου Κεραμέως, Ἀνάλεκτα ἱεροσολυμιτικῆς βιβλιοθήκης τόμ. 3 σ. 252-253 καὶ 263 καὶ τόμ. 4 σ. 451-453.

Institutional Repository - Library & Information Centre - University of Thessaly
11/05/2024 23:32:26 EEST - 3.15.2.13

πραγματικότητος τοῦ ἁγίου τούτου φωτός [1], ὡς καὶ ἐκ τῆς προκειμένης διατριβῆς φαίνεται. Ἤδη ὁ Ἐλευθέριος Μιχαῆλος ὁ Λαρισσαῖος κατὰ τὸ 1775 ἐρωτᾷ τὸν Νικηφόρον Θεοτόκην [2], μεταξὺ ἄλλων, καὶ περὶ τοῦ θείου τούτου φωτὸς «ἀληθὲς ἢ πλάσμα τὸ ἐν θεοδέγμονι τοῦ Σωτῆρος τάφῳ κατὰ τὴν κυριώνυμον τοῦ Πάσχα ἡμέραν φῶς», ὁ δὲ Νικηφόρος Θεοτόκης ἀπαντᾷ ὡς ἀκολούθως [3].

«Ὅτε μὲν ἐκ τοῦ τάφου ὁ φωτοδότης ἀνέστη, τότε φῶς ἐν τῷ τάφῳ θεόσδοτον ὤφθη, δι' οὗ ὁ Πέτρος παρακύψας τὰ ὀθόνια κατεῖδε καὶ τὸ σουδάριον, ὃ ἦν ἐπὶ τῆς τοῦ Δεσπότου κεφαλῆς, οὐ μετὰ τῶν ὀθονίων, ἀλλὰ χωρίς, ἐντετυλιγμένον εἰς ἕνα τόπον· ἄλλως γὰρ ἀμέλει τι, εἰ οὐκ ἦν φῶς, οὐκ ἄν, σκοτίας ἔτι οὔσης, ταῦτα ἑωράκει ὁ Πέτρος. Ἔνθεν τοι καὶ ἡ ἐκκλησία ᾄδει «ἀναστὰς ἐκ τοῦ τάφου ὡς ἀληθῶς ταῖς ὁσίαις προσέταξας γυναιξὶ κηρύξαι τὴν ἔγερσιν ἀποστόλοις, ὡς γέγραπται, καὶ δρομαῖος ὁ Πέτρος ἐπέστη τῷ μνήματι καὶ τὸ φῶς ἐν τῷ τάφῳ ὁρῶν κατεπλήττετο· ὅθεν καὶ κατεῖδε τὰ ὀθόνια μόνα»· οὐδεὶς γὰρ βλέπειν δύναται ἐν νυκτὶ τὰ προκείμενα. Ὅτι δὲ ἔκτοτε ἐν τοῖς ἐφεξῆς χρόνοις ἐτησίως τοῦτο ἐγίνετο, τῶν μὲν παλαιοτέρων, ὅσον ἐγὼ σύνοιδα, οὐδεὶς μεμαρτύρηκεν ἢ ἐμνήσθη τὸ σύνολον, ὁ δὲ Ἱεροσολύμων Νεκτάριος ἐν τῷ κατὰ Λατίνων ἐκδεδομένῳ αὐτοῦ πονήματι περὶ τοῦ θαύματος τούτου διαλαμβάνει ὡς ἐν ταῖς κατ' αὐτὸν τελουμένου ἡμέραις. Εἴτε οὖν αὐτὸς ἀλήθειαν εἴρηκεν, εἴτε ἐψεύσθη, εἴτε κατὰ τὴν τοῦ δημώδους ὑπόληψιν ἀπερισκέπτως ἐλάλησεν, ἐγὼ κριτὴς οὐ γίνομαι, ἐπεὶ εὐσεβῶς ὁ ἀνὴρ τὸν βίον ἐξετέλεσε. Τί δὲ ἐν ταῖς καθ' ἡμᾶς γίνεται ἡμέραις, τοῦτο ἐρῶ σοι, ὅπερ παρὰ τῶν κορυφαίων τοῦ τόπου ἐκείνου ἀκήκοα ἀνδρῶν, καὶ μάλα ἀξιοπίστων καὶ πάσης αἰδοῦς ἀξίων καὶ εὐλαβείας, ὧν τινες μὲν ἐν Κυρίῳ κεκοίμηνται, τινὲς δὲ ἔτι ἐν τῷ βίῳ περιάγουσιν. Οὐκ ἀπ' οὐρανοῦ κατέρχεται, οὐδ' ἀπὸ τοῦ τάφου ἀναβλύζει, ἀλλ' ὁ ἐπὶ τὴν διακονίαν ταύτην ταχθεὶς ἀρχιερεὺς ἐν τῷ λεγομένῳ εἰσελθὼν Κουβουκλίῳ, τὸν πυρίτην παίων πῦρ ἐξάγει ἐπάνω τοῦ ζωοδόχου τάφου, εἶτα ἐφάψας τὰς ἐν τῷ τάφῳ πρότερον τριβείσας λαμπάδας κρατῶν ἐξέρχεται καὶ τὸ φῶς μεταδίδωσιν ὡς ἡγιασμένον τῇ ἐπαφῇ καὶ προσψαύσει τοῦ Παναγίου Τάφου. Καὶ ὁ μὲν ἀγελαῖος λαὸς ἐκ τοῦ τάφου τὸ φῶς ἐκεῖνο ἀναβλύσαν νομίζει, οὐδεὶς δ' αὐτῷ τοὐναντίον εἰπεῖν θαρσεῖ, δεινόν τι παθεῖν δεδιττόμενος. Ὡς οὖν ὁρᾷς, οὐκ ἔστι πλάσμα, οὐδὲ γὰρ πλάττουσί τι ἢ κατασκευάζουσιν ὅλως, οὐδὲ δὴ τὸ γινόμενον κρύπτουσι κατ' ἰδίαν ἐρωτηθέντες οἱ ἐκεῖ προεδρεύοντες, τὴν δὲ τοῦ χύδην λαοῦ ὑπόληψιν θεραπεῦσαι μὴ δυνάμενοι οἰκονομικῶς σιωπῶσι· καὶ γὰρ οὐδεμίαν ἐπιφέρει βλάβην ἡ τοιαύτη ὑπόληψις».

---

[1] Πρβλ. ἰδίᾳ Ἀδαμαντίου Κοραῆ, Διάλογος περὶ τοῦ ἐν Ἱεροσολύμοις ἁγίου φωτός (Ἄτακτα τόμ. 3 σ. 329-381 πρβλ. καὶ Σημειώσεις, Ἔνθ' ἀν. σ. 382-424).

[2] Πρβλ. Κ. Δυοβουνιώτου, Νικηφόρος ὁ Θεοτόκης σ. 14.

[3] Ἔνθ' ἀν. σ. 15.

Institutional Repository - Library & Information Centre - University of Thessaly
11/05/2024 23:32:26 EEST - 3.15.2.13

Ἐκ τῆς ἀπαντήσεως ταύτης τοῦ Θεοτόκη γίνεται φανερὸν ὅτι καὶ οὗτος ἀμφιβάλλει περὶ τοῦ θείου φωτὸς προσπαθῶν νὰ ἐξηγήσῃ τοῦτο φυσικῶς Ἔτι ὅμως λεπτομερεστέρα εἶναι ἡ κατωτέρω διατριβὴ τοῦ Νεοφύτου, ἧς ἡ διὰ τύπου ἔκδοσις εἶναι ἀναγκαία, ὅπως οὕτω καταστῇ δυνατὴ ἡ ἀντικειμενικὴ ἐξέτασις τῶν ὑπὲρ καὶ κατὰ ἐπιχειρημάτων πρὸς διαφωτισμὸν τοῦ ζητήματος τούτου.

Ἐκδίδων κατωτέρω τὴν διατριβὴν ταύτην τοῦ Νεοφύτου σημειῶ ἐνταῦθα ὅτι διορθώσεις τινάς, ἐλαχίστας, ἐπέφερον εἰς τὸ κείμενον, ἅστινας δὲν ἐνόμισα ἀναγκαῖον νὰ ἀναφέρω.

## ΠΕΡΙ ΤΟΥ ΕΠΙΤΑΦΙΟΥ ΦΩΤΟΣ

Ἐφραὶμ τῶν Ἱεροσολύμων πατριάρχης, ὁ ἐξ Ἀθηνῶν [1], ἐρωτηθεὶς ἐν Βουκουρεστίῳ τῆς Οὐγγροβλαχίας κατὰ τὸ ͵αψξθʹ παρά του τῶν ἔσω λόγου κατ᾽ ἰδίαν περὶ τοῦ ἐν Ἱεροσολύμοις ἐπιταφίου ἐκείνου φωτὸς ἀπεκρίνατό οἱ, ἐνδημούντων τὸ τηνικαῦτα ἐκεῖ καὶ ἡμῶν, ὡς εἴ γέ φησιν ἐπ᾽ ἐμοὶ ἦν, κατήργησα ἂν καὶ τὴν ἐκείνου χειροποίητον μηχανουργίαν. Οὐ μὴν ἀλλὰ μακρῷ πρὸ τούτου καὶ ὁ ἱεροπρεπὴς ἐκεῖνος καὶ ἀποστολικὸς ἀνήρ, ὁ καὶ τὸν βίον καὶ τὸν τρόπον καὶ τὸν λόγον φιλόσοφος, Ἀγάπιος λέγω ὁ Ἰθακήσιος [2], περιστήσας ἐν τῇ νήσῳ Πάτμῳ τοὺς ἐν τῇ σχολῇ μαθητάς, σχολαρχοῦντος ἐκεῖσε τοῦ ἀοιδίμου ἐκείνου καὶ ἐν Ἱερομονάχοις ἡγιασμένου Γερασίμου [3], ᾧ καὶ αὐτὸς τὸ τηνικαῦτα ἐμαθήτευον, ὑπετίθετο ἡμῖν ἀναπείθειν πειρᾶσθαι τοὺς προσκυνήσεως χάριν αἱρουμένους ἀπιέναι εἰς Ἱεροσόλυμα δι᾽ αὐτὸν τοῦτον τὸν ζωοδόχον τοῦ Ἰησοῦ Χριστοῦ τάφον ἐκεῖσε ἀποδημεῖν κοὐχὶ διὰ τὸ χειροποίητον ἐκεῖνο φῶς, οὗ κἀγώ, φησι, τὴν δραματουργίαν αὐτοψεὶ κατανοήσας μικροῦ καὶ κατελεύσθην ὑπὸ τῶν ἐκεῖσε φωτοποιῶν, ὡς δῆθεν κατάσκοπος. Ἀλλὰ καὶ Χῖός τις τῶν ἐλλογίμων ἀνὴρ καὶ τῇ λαμπρότητι ὧν πλουτεῖ ἀρετῶν τὴν οἰκείαν πατρίδα εἴ καί τις ἄλλος καταγλαΐζων, Νικολάκις τοὔνομα, τοὐπίκλην Δρακάκης, ἐπανελθὼν ἀπὸ τῆς τοῦ ζωοδόχου τάφου προσκυνήσεως, ἐπεὶ μάθοι παρά του τῶν συνόντων μοι ἄττα περὶ τῶν εἰς Ἱεροσόλυμα ἀπιόντων ὅ τε Νύσσης Γρηγόριος ἔγραψε καὶ ἡμεῖς ἐνδημοῦντες τῇ Χίῳ ἐπεξειργασάμεθα, οὐδὲν ἔφη ἤνυσε (περὶ ἡμῶν τοῦτο λέγων) μὴ τὴν τοῦ φωτὸς ἐκείνου δραματουργίαν τῷ λόγῳ ἀπογυμνώσας. Τούτων ἡμεῖς ἀκούσαντες καὶ ἄττα καθ᾽ ἑαυτοὺς διηπορήσαμεν ἐξαγγεῖλαι δεῖν ἔγνωμεν ὅ, τι δήποτε ὧν μὲν οἱ τῶν Εὐαγγελιστῶν, Λουκᾶ τε καὶ Ἰωάννου, τάφοι κατ᾽ ἔτος ἐν τῇ μνήμῃ

---

[1] Περὶ τοῦ πατριάρχου Ἐφραὶμ πρβλ. Ζαβίρα, Ν. Ἑλλὰς σ. 299. Σάθα, Νεοελ. φιλολογία σ. 507 καὶ ἰδίᾳ Χρυσ. Παπαδοπούλου, Ἱστορία τῆς ἐκκλ. Ἱεροσολύμων σ. 645 ἑ.

[2] Πρβλ. Ζαβίρα, Ἔνθ᾽ ἀν. σ. 162 καὶ 169.

[3] Πρβλ. Ζαβίρα, Ἔνθ᾽ ἀν. σ. 215 καὶ Σάθα, Ἔνθ᾽ ἀν. σ. 600.

Institutional Repository - Library & Information Centre - University of Thessaly
11/05/2024 23:32:26 EEST - 3.15.2.13

αὐτῶν ἀνεδίδοσαν (ὅ μέν φημι κόνεως ὅ δὲ κολλουρίου εἴτ' οὖν χρώματος, ὅ τοῦ Λουκᾶ) μνημονεύει ἡ ἐκκλησία, τοῦ δὲ ἐν Ἱεροσολύμοις ἐπιταφίου ἐκείνου φωτός, τοῦ κατ' ἔτος φημί, οὐκ ἐμνημόνευσεν οὐθ' ἡ ἐκκλησία τὰ ἐγκαίνια τοῦ ναοῦ τῆς τοῦ Χριστοῦ ἀναστάσεως κατ' ἔτος τελοῦσα, οὔτε τις τῶν θεοφόρων πατέρων, ἐν οἷς περὶ τῆς τοῦ Χριστοῦ σταυρώσεως καὶ ταφῆς καὶ ἀναστάσεως ὡμίλησεν. Οὐδὲ γὰρ συνηγορήσει τοῖς περὶ τὸν Ἱεροσολύμων Μελέτιον φωτουργοῖς, ὃ ὁ Πέτρος κατὰ τὸν μελῳδὸν Δαμασκηνὸν ἐν τῷ τάφῳ ἑώρα φῶς· ἐκεῖνο μὲν γὰρ καὶ νυκτός, ὡς αὐτὸς ᾄδει, ὦπται καὶ ἐν τῷ τάφῳ (ἵν' οἶμαι ἴδῃ Πέτρος τὰ ἐν τῷ τάφῳ) καὶ μετὰ τὴν ἀνάστασιν τοῦ Κυρίου, τοῦτο δὲ καὶ ἐν ἡμέρᾳ καὶ πρὸ τοῦ ἀναστασίμου καιροῦ καὶ οὐδ' ἐν τῷ τάφῳ, ἀλλ' ἐπὶ τοῦ μνήματος, δείλης ἑσπέρας Σαββάτου, μᾶλλον δὲ μικρὸν μετὰ μεσημβρίαν ἀναθρῶσκον ἐπιπολάζει. Οὐδὲ γάρ, ἐπειδὴ καὶ τὴν ὥραν, καθ' ἣν ἀνέστη ὁ Κύριος, οὐκ ἀπηκρίβωσαν οἱ Εὐαγγελισταί, τοὺς καιροὺς μόνον ἀναγράψαντες, καθ' οὓς οἱ ἐπὶ τὸ μνημεῖον ἐλθόντες ἀνεστηκότα τὸν Κύριον εὑρηκέναι ἔφασαν, παρὰ τοῦτο προσήκει πρὸ ὀψὲ τῆς μιᾶς Σαββάτου ἐν αὐτῷ τῷ Σαββάτῳ, ἐν ᾧ κατά τε τὰς τῶν Ἀποστόλων Διαταγὰς καὶ τὸ δόγμα τῆς ἐκκλησίας ὁ δημιουργὸς ὑπὸ γῆν ἦν, φωτουργεῖν τὸ τῆς ἀναστάσεως μᾶλλον δὲ τὸ μετὰ τὴν ἀνάστασιν φῶς πρὶν ἢ λέγω μετὰ Πέτρου δραμόντες, μᾶλλον δὲ πρὸ Πέτρου μετὰ τῶν μυροφόρων ὄρθρου βαθέως ἐλθόντες ἐπὶ τὸ μνημεῖον ἰδεῖν τε καὶ ἀκοῦσαι ἅττα καὶ οἱ περὶ τὴν Μαγδαληνὴν Μαρίαν ἰδοῦσαι καὶ ἀκούσασαι τοῖς περὶ τὸν Πέτρον ἀπαγγεῖλαι ἀπεστάλησαν. Τὸ γὰρ παρὰ καιρὸν γιγνόμενον τῶν παρ' ἐντολήν ἐστι κατὰ τὸν μέγαν Βασίλειον, τὰ δὲ παρ' ἐντολὴν οὐκ οἶδα ὅπως ποτὲ τὸ θεῖον ἕξει συνήγορον καὶ τὴν ἄνωθεν ῥοπὴν σύνδρομον. Προανακρούει μὲν γὰρ ἡ ἐκκλησία ἑσπέρας Σαββάτου τὰ τῆς ἀναστάσεως, ἀλλ' οὐχὶ καὶ τὰ μετὰ τὴν ἀνάστασιν πρὸ τῆς ἀναστάσεως τελεῖ, ἐπεὶ ὅρα καθ' ἑκάστην ἑσπέραν Σαββάτου καὶ τὰ ἑωθινὰ τῶν μυροφόρων ἀναγινώσκειν εὐαγγέλια καὶ τὸ ἱερὸν εὐαγγέλιον εἰς ἀσπασμὸν προτιθέντας τὸ ἀνάστασιν Χριστοῦ θεασάμενοι κ. λ. ἐπιφωνεῖν. Τίς δὲ καὶ τῶν Εὐαγγελιστῶν εὕρηταί που τὸν Πέτρον καὶ φῶς ἐν τῷ τάφῳ ἑωρακέναι εἰπών· ὁ γὰρ ἐκ Δαμασκοῦ φωστὴρ (ὃν καὶ συγγνῶναί μοι τῆς τόλμης αἰτοῦμαι, ἀνθ' ὧν ὁ λόγος οὐχὶ αὐτῷ, ἄπαγε, ἀλλ' οἷς ἄλλοι, ἐξ ὧν ἐκεῖνος ἀπεριέργως ἐμελογράφησε, περιέργως ἀναπλάττειν ἀντιφέρεται) προϋποθέμενος, ὡς ἔοικε, τὸν Πέτρον ἐν νυκτὶ καὶ καταλαβεῖν τὸ μνημεῖον καὶ παρακύψαντα ἰδεῖν ἐν αὐτῷ, ἅπερ εἶδεν. Ἐντεῦθεν, οἶμαι, συνελογίσατο ὡς ἐν νυκτὶ φωτὸς μὴ παρόντος οὐκ ἂν ἴδοι τις τὰ προκείμενα (οὐδεὶς γάρ, φησι, βλέπειν δύναται, ἐν νυκτὶ τὰ προκείμενα), ἀλλὰ μὴν Πέτρος ἐν νυκτὶ εἶδεν, ὑπὸ φωτὶ ἄρα εἶδεν. Ἀλλὰ γὰρ ὁ Πέτρος ἔδραμεν ἐπὶ τὸ μνημεῖον κατὰ μὲν τὸν Λουκᾶν μεθ' ὃ ὑπὸ τῶν μυροφόρων τὴν ἀνάστασιν τοῦ Κυρίου εὐαγγελισθεὶς μετὰ τῶν περὶ αὐτὸν ἠπίστησεν, αἱ δὲ μυροφόροι μετὰ τὴν ἀνατολὴν τοῦ ἡλίου ἀπὸ τοῦ μνήματος ὑποστρέψασαι εὐηγγελίσαντο τοῖς ἀποστόλοις

Institutional Repository - Library & Information Centre - University of Thessaly
11/05/2024 23:32:26 EEST - 3.15.2.13

(εἴ γε κατὰ τὸν Διονύσιον Ἀλεξανδρείας ἑρμηνεύοντα ἐν τῇ ἑαυτοῦ πρὸς Βασιλείδην κανονικῇ ἐπιστολῇ τοῦ Μάρκου τὸ καὶ λίαν πρωῒ ἔρχονται ἐπὶ τὸ μνημεῖον ἀνατείλαντος τοῦ ἡλίου, τὴν μὲν ὁρμὴν τοῦ ἐπὶ τὸ μνημεῖον δρόμου ὄρθρου βαθέως εἴτ᾿ οὖν λίαν πρωΐ, ταὐτοδύναμα γὰρ εἰσί φησιν ἑκάτερα, ἐποιήσαντο, τὴν δὲ ἐπὶ τὸ μνημεῖον πορείαν καὶ τὴν περὶ αὐτὸ διατριβὴν παρέτειναν μέχρις ἀνατολῆς ἡλίου). Κατὰ δὲ τὸν Ἰωάννην, μεθ᾿ ὃ ἡ Μαγδαληνὴ Μαρία πρωῒ σκοτίας ἔτι οὔσης ἐλθοῦσα εἰς τὸ μνημεῖον ἔδραμεν ἔπειτα πρὸς αὐτὸν τοῦ Κυρίου οὐχὶ τὴν ἀνάστασιν, ἀλλὰ κλοπήν, ὡς ὑπενόησεν, αὐτῷ ἀπαγγέλλουσα, μετὰ τοῦτο ἔδραμε καὶ αὐτὸς ἐπὶ τὸ μνημεῖον οὐ πάντως δὲ καὶ ἐν σκοτίᾳ αὐτὸ κατέλαβεν· οὐδὲ γὰρ οὐδ᾿ ἡ πρὸ αὐτοῦ Μαγδαληνὴ ἐν σκοτίᾳ πάντως αὐτὸ κατειλήφει, ἀλλὰ τῆς ἐπ᾿ αὐτὸ ὁρμῆς καὶ τοῦ δρόμου, ἐν σκοτίᾳ ἀρξαμένη πρωΐας αὐτό, ὡς εἰκός, κατέλαβεν ὡς καὶ παρὰ τῷ Μάρκῳ περὶ τῶν ἄλλων μυροφόρων εἴρηται ὅτι λίαν πρωῒ ἐπὶ τὸ μνημεῖον ὁρμήσασαι ἀνατείλαντος τοῦ ἡλίου ἦλθον ἐπ᾿ αὐτό, ὁπότε οὐδ᾿ εἰ ἡ Μαγδαληνὴ καθ᾿ ὑπόθεσιν σκοτίας ἔτι οὔσης κατειλήφει τὸ μνημεῖον, οὐδὲ οὕτω φημὶ ἕπεται καὶ τὸν μετ᾿ αὐτὴν δραμόντα Πέτρον ἐν σκοτίᾳ καταλαβεῖν αὐτό· εἰκὸς καὶ γὰρ ἐν τῇ παρατάσει τοῦ χρόνου, καθ᾿ ὃν ἡ Μαγδαληνὴ ἀπὸ τοῦ μνημείου πρὸς τὸν Πέτρον τρέχουσα μετ᾿ αὐτοῦ ἐπὶ τὸ μνημεῖον ἐπανέδραμε, παρελθεῖν τὴν ἔτι ἐπικρατοῦσαν σκοτίαν. Εἴποιεν δ᾿ ἂν ἴσως ὡς οὐχ ἵνα Πέτρος ἴδῃ τὰ ἐν τῷ τάφῳ τὸ φῶς ἐν αὐτῷ ἑωρᾶτο, ἀλλ᾿ εἰς ἔκπληξιν θαύματος· ἀπῆλθε γάρ φησι πρὸς ἑαυτὸν θαυμάζων τὸ γεγονός. Καὶ μὴν τὸν Πέτρον τὰ ἐν τῷ τάφῳ ὀθόνια κείμενα μόνα ἐξέπληξε καὶ τὸ σουδάριον, ὃ ἦν ἐπὶ τῆς κεφαλῆς χωρὶς ἐντετυλιγμένον εἰς ἕνα τόπον. Εἰ δὲ καὶ φῶς ἦν ἐκπλῆττον αὐτόν, οὐκ ἂν τοῦτο παρέδραμον οἵ τά τε ἐν τῷ τάφῳ καὶ τὰ περὶ τὸ μνημεῖον ἐκπληκτικὰ εἴτ᾿ οὖν ὑπερφυῆ ἀνιστορήσαντες, τὸν μέγαν λέγω γεγονότα σεισμόν, τὸ τοῦ σφόδρα μεγάλου λίθου ἀπὸ τῆς θύρας τοῦ μνημείου ἐξ ἀγγέλου ἀποκύλισμα, τὸν ἐπ᾿ αὐτοῦ καθεζόμενον ἀστραπόμορφον ἄγγελον, τὴν τῶν τηρούντων ἐκ τούτου μικροῦ δεῖν ἀπὸ τοῦ φόβου ἀπενέκρωσιν, τὸν ἐν τῷ τάφῳ λευχείμονα νεανίσκον καὶ τοὺς ἐν ἐσθήτεσιν ἀστραπτούσαις ἐπιστάντας ταῖς ἐν τῷ τάφῳ γυναιξὶ δύο ἄνδρας, εἴτ᾿ οὖν ἀγγέλους, ἐν λευκοῖς καθεζομένους, ἕνα πρὸς τῇ κεφαλῇ καὶ ἕνα πρὸς τοῖς ποσίν, ὅπου ἔκειτο τὸ σῶμα τοῦ Ἰησοῦ. Κατελάμπετο μὲν γὰρ ὁμολογεῖ ὁ τοῦ Κυρίου τάφος ἐκ τῶν ἐν αὐτῷ ἀστραπομόρφων ἀγγέλων, παρόντων δῆλον ὅτι, εἴτ᾿ οὖν ὀπτανομένων καὶ ὁμιλούντων ταῖς γυναιξίν, εἴ γε καὶ τῷ Πέτρῳ ἐπιστάντος ἀγγέλου φῶς φησιν ἔλαμψεν ἐν τῷ οἰκήματι· φωτεινοὶ γὰρ οἱ ἅγιοι ἄγγελοι ὡς τοῦ πρώτου φωτὸς φῶτα λειτουργικὰ δεύτερα κατὰ μέθεξιν χρηματίζοντες, κατὰ τὸν θεολόγον Γρηγόριον. Ἀλλ᾿ οὐθ᾿ ὁ Πέτρος τινὶ τούτων εἰσελθὼν εἰς τὸ μνημεῖον ἐντετυχηκὼς φαίνεται, οὔτε τὴν ἐκείνου ἐν τῷ τάφῳ ἐξαστράπτουσαν αἴγλην ὁ λόγος σκοπεῖ, ἀλλ᾿ εἴπερ καὶ ἀποστάντων τῶν ἀγγέλων καὶ πρὸ τῆς ἐκείνου ἐπιστασίας

Institutional Repository - Library & Information Centre - University of Thessaly
11/05/2024 23:32:26 EEST - 3.15.2.13

φῶς ὑπερφυὲς ἐν τῷ τάφῳ ἑωρᾶτο, οὗτινος πρὸς μίμησιν φωτουργοῦσιν οἱ μετὰ ταῦτα· ἦν γὰρ ἄν, εἴπερ εἰς λόγον γραφικῆς ἱστορίας, τὸ φῶς ἐκεῖνο οὐδὲν ἔλαττον οἶμαι τῶν φώτων ἐκείνων, τοῦ τε τὸν Παῦλόν φημι καὶ τοὺς περὶ αὐτὸν ἡμέρας μέσης περιαστράψαντος καὶ τοῦ ἐν τῷ τοῦ Πέτρου οἰκήματι νυκτὸς λάμψαντος, τῆς ἐπὶ τοῦ Θαβὼρ τοὺς ἀποστόλους ἐπισκιασάσης φωτεινῆς νεφέλης, τῶν τοῦ πάλαι Ἰσραὴλ προηγουμένων πυρὸς καὶ νεφέλης στύλων, τῆς τὴν βάτον ἀκαταφλέκτως πυρπολούσης φλογός, τοῦ τὰς νομικὰς θυσίας ὁλοκαυτοῦντος ἀχειροποιήτου πυρὸς καὶ ἄνωθεν ἐξ οὐρανοῦ καὶ κάτωθεν ἐκ πέτρας, τῆς νεφέλης ἐκείνης, τῆς ἔνθα μὲν ἐν εἴδει πυρὸς τὴν σκηνὴν καλυπτούσης, ἔνθα δέ, τὸν οἶκον Κυρίου πληρούσης. Πολλῷ γὰρ κρείττων εἰς λόγον σεβάσματος ὁ τοῦ Κυρίου τάφος καὶ τὰ ἐν αὐτῷ τοῦ τε Σινᾶ καὶ τῆς νομικῆς σκηνῆς καὶ τοῦ Σολομωντείου ναοῦ, ναὶ δὴ καὶ τῶν αὐτοῖς· ἰδοὺ γάρ φησιν ὁ Κύριος μεῖζον τοῦ ἱεροῦ καὶ πλεῖον Σολομῶντος ὧδε. Ἔγωγε μέντοι ἐκ τῆς τῶν ἐλαττόνων συγκρίσεως τεκμαίρομαι, μᾶλλον δὲ καὶ πέπεισμαι οὐδὲν ἧττον εἰ μὴ καὶ μᾶλλον καταφωτισθῆναι τὴν νύκτα ἐκείνην ὑπερουρανίῳ φωτὶ καὶ τὸν τὸ φῶς τοῦ κόσμου ὑποδεξάμενον ζωοδόχον τάφον, σιγῆσαι δὲ τοῦτο τοὺς Εὐαγγελιστὰς προαναστέλλοντας, οἶμαι, ἣν ἑώρων τῷ πνεύματι τῶν μετὰ ταῦτα πρὸς μίμησιν τοῦ φωτὸς ἐκείνου δραματουργίαν· καὶ γὰρ οὔτε τὴν σκηνὴν τοῦ μαρτυρίου μετὰ τὴν τοῦ Ἰορδάνου διάβασιν ἐν τῇ γῇ τῆς ἐπαγγελίας καταπαύσασαν φαίνεταί που ἡ ἐπὶ τοῦ Ἰησοῦ τοῦ Ναυῆ ἢ ἐπὶ Δαβὶδ νεφέλη ἐν εἴδει πυρός, ὡς καὶ πρότερον καλύπτουσα, οὔτε τὸν τοῦ Σολομῶντος ναὸν κατ᾽ ἔτος πληροῦσα οὔτε ἐπὶ τοῦ ἁγνισμοῦ αὐτοῦ μιάναντος αὐτὸν τοῦ Ἄχαζ, ἀλλ᾽ οὐδὲ ἐν τοῖς ἐγκαινίοις αὐτοῦ ἢ τοῖς πρώτοις ἢ τοῖς δευτέροις, οὐ μὴν οὐδὲ τὸ ἅπαξ παρὰ Κυρίου ἐξελθὸν πῦρ καὶ καταφαγὸν τὰ ἐπὶ τοῦ θυσιαστηρίου ὁλοκαυτώματα καὶ ἐφ᾽ ἑκάστης θυσίας ἢ κατ᾽ ἔτος κατήρχετο, ἀλλὰ καύσει ξύλων διηνεκεῖ ἄσβεστον διατηρούμενον ταῖς ἐν τῷ ναῷ θυσίαις δῆλον ὅτι καὶ αὐτὸ συνεξέλιπεν ἐμπρήσαντος τὸν ναὸν τοῦ Ναζουζαρδάν, μᾶλλον δὲ καὶ πρὸ τοῦ ἐμπρησμοῦ ἐπὶ Ἄχαζ, τοῦ μιάναντος τὸν οἶκον Κυρίου καὶ ἀποκλείσαντος τὰς θύρας αὐτοῦ ὥστε μήτε λύχνους ἅπτειν, μήτε θυμίαμα θυμιᾶν, μήτε ὁλοκαυτώματα ἀναφέρειν· οὐδὲ γὰρ οὐδ᾽ αὐτὸ φαίνεται ἢ ἐν τῷ ἁγνισμῷ τοῦ ναοῦ ἢ ἐν τοῖς ἐγκαινίοις κατερχόμενον. Τὰς γὰρ ἐπὶ τῶν ἀποστόλων γλώσσας τῶν μαθητῶν καὶ προφητείας καὶ τὰ σημεῖα καὶ τὰς ἑξῆς ἐκ τῶν μαρτυρικῶν καὶ ὁσιακῶν λαρνάκων ἀναβλύσεις τοῦ μύρου καὶ ἅττα οἱ τάφοι τῶν δυοῖν εἰρημένων ἀποστόλων κατ᾽ ἔτος ἀνεδίδοσαν, ταῦτα πάντα πάλαι πεπαυμένα ἀφίημι. Τὸ γὰρ πάλαι καθιέμενον οὐρανόθεν πῦρ ἐπὶ τὰ θεῖα θυσιαστήριά φησι Κύριλλος Ἀλεξανδρείας τοῦ κατὰ Χριστὸν μυστηρίου προαναφώνησις ἦν. Ἀπειπὼν γὰρ ὁ θεῖος νόμος τὸ ἐπεισφρῆσαι πῦρ ἀλλότριον ἐτύπου ὡς εἷς ἔστιν καὶ μόνος ὁ φύσει καὶ ἀληθῶς Θεὸς συναριθμῶν ἑαυτῷ παντελῶς οὐδένα τὸν σκηνὴν τὴν ἀληθεστέραν, τουτ᾽ ἔστι, τὴν ἐκκλησίαν νοητῷ καταυγάζοντα φωτί. Ἡμῖν

Institutional Repository - Library & Information Centre - University of Thessaly
11/05/2024 23:32:26 EEST - 3.15.2.13

δὲ ἀπόχρη διὰ τῶν τηνικάδε δρωμένων καθάπερ ἐν πίνακι τῆς ἀληθείας τὸ κάλλος διαμορφούμενον τοῖς τῆς διανοίας ὄμμασι καθορᾶν, θύομεν δὲ μακρῷ κρεῖττον ἡμεῖς ἢ οἱ πάλαι· κάτεισι γὰρ οὐρανόθεν οὐ πῦρ αἰσθητὸν τῆς ἀρρήτου φύσεως εἰκόνα πληροῦν, ἀλλ᾽ ἐκ πατρὸς δι᾽ υἱοῦ τὸ Πνεῦμα τὸ ἅγιον καταφωτίζον τὴν ἐκκλησίαν, προσιέμενον δὲ καὶ τὰς θυσίας τὰς πρὸς ἡμᾶς πνευματικὰς δῆλον ὅτι καὶ νοητάς. Ὁρᾷς ὡς νῦν τὸ οὐρανόθεν κατερχόμενον καὶ καταφωτίζον τὴν ἐκκλησίαν οὐ πῦρ αἰσθητόν ἐστιν. Ἀλλ᾽ οὐδὲ ἐξ ἐκείνου αὐτῶν τοῦ λόγου ἔξουσί τι πλέον οἱ τῆς μηχανικῆς ταύτης φωτουργίας τὸ ἀνιστόρητον ἐκ τῶν τοῦ μελῳδοῦ συγκροτεῖν πειρώμενοι, ὡς ἄρα τὰ προφανῆ τῶν κατ᾽ ἔτος ὡσαύτως γινομένων ἱστορίας, ἡστινοσοῦν οὐδόλως χρήζει, ὡς τὴν τῶν ὁρώντων ὄψιν ἱστορίας ἁπάσης τορώτερον ἐπιμαρτυροῦσαν ἔχοντα. Ἀντεποίσοι γὰρ ἄν τις καὶ πρὸς ταῦτα τί προφανέστερο ντῆς τοῦ γιγαντοδρόμου ἡλίου ἀνατολῆς τε καὶ δύσεως καὶ ὡς ἐκλείπει μὲν ἥλιος, σελήνη δὲ φθίνει καὶ ὡς ὑψηλὸς μὲν ὁ οὐρανός, νεοσσοὶ δὲ γυπὸς ἐπὶ τὰ ὑψηλὰ πέτονται, ὁ δὲ ἄνθρωπος ταπεινός; Τί γνωριμώτερον τῶν ἀνὰ μέσον τῶν ὀρέων διερχομένων ὑδάτων καὶ τῶν ἐν φάραγξι πηγῶν, τῆς τῶν πετεινῶν τοῦ οὐρανοῦ ἐπὶ τὰ ὄρη κατασκηνώσεως καὶ ὡς νυκτὸς μὲν τὰ θηρία ἐπὶ βρῶσιν διέρχονται, ἀνατείλαντος δὲ τοῦ ἡλίου ἐκεῖνα μὲν εἰς τὰς ἑαυτῶν μάνδρας συναγόμενα κοιτάζονται, ἄνθρωπος δὲ ἐξέρχεται ἐπὶ τὴν ἐργασίαν αὐτοῦ ἕως ἑσπέρας; Καὶ ὡς ἀνθρώπου καρδίαν στηρίζει μὲν ἄρτος, εὐφραίνει δὲ οἶνος, τὸ δὲ πρόσωπον ἐν ἐλαίῳ ἱλαρύνεται; Καὶ ὡς εὐφραινομένοις μὲν θάλλει πρόσωπον, ἐν λύπαις δὲ οὖσι σκυθρωπάζει; Τίς τῶν ποιούντων ἐργασίαν ἐν ὕδασι πολλοῖς ἠγνόησεν ὡς εὐρύχωρός τε ἡ θάλασσα ὄρεσιν ἁμιλλωμένη ταῖς τρικυμίαις καὶ ἐν αὐτῇ ἀναρίθμητα καὶ ἑρπετὰ νηκτοπόρα καὶ πλοῖα ποντοπόρα; Τίς οὐ βλέπει συμπάντων τῶν ὁρωμένων τὴν κατὰ τὸν Ἐκκλησιαστὴν καὶ τὸν Ψαλμῳδὸν ματαιότητα ἢ τὴν ἀνθρωπίνην ζωὴν ὡς ἑβδομηκοντοῦντις ἢ ὀγδοηκοντοῦτις καὶ τὸ πλεῖον αὐτῆς κόπος καὶ πόνος καὶ ὅτι ὡσεὶ χόρτος αἱ ἡμέραι τοῦ ἀνθρώπου καὶ πᾶσα δόξα ἀνθρώπου ὡς ἄνθος χόρτου; Ἀλλὰ γὰρ καὶ τούτων ἕκαστον, ἵνα τὰ πλεῖστα παραλείψω, καίτοι μὴ κατ᾽ ἔτος μόνον, ἀλλὰ καὶ καθ᾽ ἑκάστην, ὡς εἰπεῖν, καὶ γιγνόμενον καὶ δρώμενον, οὐδὲν ἧττον καὶ γραφικῆς ἱστορίας ἠξίωται. Εἰ τοίνυν τὰ φυσικὰ ταῦτα καὶ καθ᾽ ἑκάστην ὑπ᾽ ὄψιν προκείμενα ἱστορίας ὁ λόγος ἠξίωσε, τί δήποτε τὸ ὑπερφυές, ὥς φασι, τῆς ἐπιταφίου τῆσδε κατ᾽ ἔτος φωτοφανείας ἀνιστόρητον τοῖς θεοφόροις πατράσι παρῶπται καὶ μάλιστα τῷ Νυσσαέων λαμπρῷ φωστῆρι, τῷ καὶ αὐτοπροσώπως τὰ Ἱεροσόλυμα ἱστορήσαντι καὶ περὶ τῶν εἰς Ἱεροσόλυμα προσκυνήσεως χάριν ἀπιόντων λόγον οὐκ ἀγενῆ μετὰ τὴν ἐπάνοδον συγγεγραφότι (τοὺς γὰρ περί τε Κύριλλον Ἀλεξανδρείας καὶ Χρυσόστομον πνευματοφόρους πατέρας μηδὲν μηδόλως ἐν τῇ εἰς τὸ κατὰ Ἰωάννην ἐξηγήσει ἢ περὶ οὗ ὁ Πέτρος κατὰ τὸν Δαμασκηνὸν ἐν τῷ τάφῳ ἑωράκει φωτὸς ἢ περὶ τῆς ἐπιταφίου κατ᾽ ἔτος φωτοφανείας εἰρηκότας παρή-

Institutional Repository - Library & Information Centre - University of Thessaly
11/05/2024 23:32:26 EEST - 3.15.2.13

σειν μοι τέως δοκῶ, ὡς μήπω, ὥς οἶμαι, ἐπ᾽ ἐκείνων δραματουργηθείσης). Ἀλλ᾽ ὑπὲρ μὲν τῆς τοῦ ζωοδόχου τάφου προσκυνήσεως πολὺς παρὰ πολλοῖς καὶ ὀρεσιτρόφοις καὶ πολιούχοις Πατράσιν ὁ λόγος καὶ μάλιστα τῷ ἱερῷ Ἱερωνύμῳ, περὶ δὲ τῆς ἐπὶ τοῦ μνήματος κατ᾽ ἔτος φωτοφανείας οὐδεὶς παρ᾽ οὐδέσιν οὐδὲ παρ᾽ αὐτῷ τῷ μετὰ Δοσίθεον Χρυσάνθῳ, τῷ τὴν εἰς Ἱεροσόλυμα προσκυνήσεως χάριν ὁδοιπορίαν σωτηρίας καὶ μετανοίας οὐ τὸ τυχὸν τιθεμένῳ ὅτι μὴ παρὰ μόνῳ τῷ ὑπὸ τοῦ Δοσιθέου προχειριζομένῳ, ἀσήμῳ τινὶ ἱστορικῷ, εἰς ἔλεγχον μᾶλλον ἢ εἰς σύστασιν τοῦ πράγματος. Τί γὰρ δὴ καὶ βούλεται Δοσίθεος αὐτὸς μὲν ἐν τῇ πολυμαθεστάτῃ αὐτοῦ δωδεκατεύχῳ βίβλῳο ὐδὲν οὐδαμοῦ οἴκοθεν εἰρηκὼς περὶ ἧς καὶ αὐτόπτης, τυχὸν δὲ καὶ αὐτουργὸς ἦν ἐπιταφίου κατ᾽ ἔτος φωτοφανείας, ἅπαξ δέ που εἰσάγει ὡς δῆθεν ἑαυτοῦ ἀξιοπιστότερον τὸν ἑτεροίως τε καὶ παρηλλαγμένως ἐφ᾽ ἑαυτοῦ ἢ ὡς ἐπὶ ἐκείνου καὶ τὸν καιρὸν καὶ τὸν τρόπον τῆς εἰρημένης φωτοφανείας ἱστοροῦντα, κἄτα τοῦ τε καιροῦ καὶ τοῦ τρόπου τὸ παρηλλαγμένον δέον αἰτιολογήσασθαι, ὁ δὲ σιωπῇ παρατρέχει; Ἐπὶ γὰρ βασιλέως, φησί, Λέοντος τοῦ σοφοῦ, ὡς γράφει ὁ Καισαρείας Ἀρέθας πρὸς Οὐϊζὴρ τὸν φύλαρχον τῶν Ἀράβων αὐτῇ τῇ ἡμέρᾳ τῆς τοῦ Χριστοῦ ἀναστάσεως παντὸς πυρὸς σβεσθέντος ἐν Ἱεροσολύμοις ἐσκευάζετο κανδήλα μετὰ ἐλλυχνίου καὶ ἱσταμένου τοῦ μὲν κατὰ τὴν Ἱερουσαλὴμ Ἀμηρᾶ ἐγγὺς τοῦ ἁγίου τάφου ἐσφραγισμένης τῆς θύρας ὑπ᾽ αὐτοῦ, τῶν δὲ Χριστιανῶν ἔξω εἰς τὸν ναὸν τῆς ἁγίας Ἀναστάσεως καὶ κραζόντων τὸ Κύριε ἐλέησον ἐξαίφνης ἀστραπῆς γενομένης ἀνῆπτε εἰς τὴν κανδήλαν φῶς καὶ ἐξ αὐτοῦ τοῦ φωτὸς οἱ κατοικοῦντες ἐν Ἱερουσαλὴμ πάντες ἐλάμβανον καὶ ἀνῆπτον πῦρ. Καὶ οὕτω μὲν τότε, ἐφ᾽ ἡμῶν δὲ οὔτε μετ᾽ ἀστραπῆς, ὡς τὸ πάλαι, οὔτε κατ᾽ αὐτὴν τὴν ἀναστάσιμον ἡμέραν, οὔτε ἐκ μόνης τῆς κανδήλας, ἀλλὰ καὶ ἀστραπῆς δίχα καὶ ἐν τῇ πρὸ τῆς ἀναστάσεως ἡμέρᾳ καὶ ἐπ᾽ αὐτοῦ τοῦ ζωοδόχου τάφου, μᾶλλον δὲ τοῦ ἐπὶ τοῦ τάφου ἁγίου λίθου χεόμενον κἀκεῖθεν διαδιδόμενον εἰδὼς ὁ Δοσίθεος τὸ φῶς οὐδὲν περὶ τῆς παραλλαγῆς καὶ τοῦ χρόνου καὶ τοῦ τρόπου καὶ τοῦ τόπου ᾐτιολογήσατο. Ἢ οὐχὶ συνιέναι ἐκ τούτων δίδωσι τοῖς γινώσκειν ἔχουσιν, ἃ ἀναγινώσκουσιν, ὡς οὐδ᾽ αὐτὸς κατὰ τὸν εἰρημένον Ἐφραὶμ συνευδοκεῖ οἷς ὡς αὐτελέγκτοις οὐδὲ γρῦ, τὸ τοῦ λόγου, εἰς συνηγορίαν οἴκοθεν συνεισήνεγκεν. (Οὐ μὴν ἀλλ᾽ οὐδὲ Οὐρβανὸς ὁ β΄ πάπας μνημονεύων παρὰ Βαρωνίῳ λατίνῳ κατὰ τὸ χιλιοστὸν ἔνατον σωτήριον ἔτος ἐν τῇ κατὰ Κλαρομοντεσίῳ συνόδῳ τοῦ ἐν τῇ ἐκκλησίᾳ τοῦ ἁγίου τάφου κατ᾽ ἔτος γινομένου, οὐδὲ οὗτος, φημί, σύμφωνα τοῖς ἐφ᾽ ἡμῶν ἐκεῖ πραττομένοις ἐξ ἀκοῆς ἱστορεῖ. Πᾶσαι γάρ φησιν αἱ τοῦ ἱεροῦ καὶ τοῦ τάφου λυχνίδες σβεννύμεναι, πάλιν θεόθεν ἅπτουσιν. Ἐφ᾽ ἡμῶν δὲ οὐ πᾶσαι, ἀλλ᾽ ἐκ πασῶν μία καὶ οὐδ᾽ αὐτὴ ἡ τυχοῦσα, ἀλλ᾽ ἡ ἐπ᾽ αὐτῷ τούτῳ ὡρισμένως ἐσκευασμένη ἁπασῶν ὕψιστα ὑπ᾽ αὐτὴν τὴν ἀψῖδα τοῦ ναοῦ προανελκυσθεῖσα, ἵνα, ὡς ἔοικε, λήσει τοὺς ὀφθαλμοὺς τῶν κάτω, ὅπως τε κατεσκεύασται καὶ ὅπως ἅπτει. Ἐπιταφίου δὲ φωτὸς οὐδὲ ἐκεῖνος ὅλως μνη-

Institutional Repository - Library & Information Centre - University of Thessaly
11/05/2024 23:32:26 EEST - 3.15.2.13

μονεύει, ὥσπερ οὖν οὐδ' ὁ παρὰ τοῦ Δοσιθέου ἱστορικός, δῆλον ὡς ὑστερογενοῦς· ἐμνημόνευσαν γὰρ ἂν κἀκείνου, καὶ μάλιστα ἐκείνου, εἴπερ ἦν παλαιγενές. Νῦν δὲ ὑστερογενοῦς ἐκείνου ἐκ τῶν δυοῖν τούτων ἱστορικῶν προφανῶς δεικνυμένου, οὐδὲ τῶν σβεννυμένων ἄρα λυχνίδων ἢ πάλαι μέν, ὥς φασι, πασῶν ἐξ ἀσπραπῆς ἐν τῇ ἀναστασίμῳ, νῦν δὲ μιᾶς καὶ αὐτομάτου καὶ ἐν τῷ Σαββάτῳ ἅψις ἀνύποπτος)· τί γὰρ ἐκώλυε κἀκεῖνον, εἰ μηδὲν ἄλλο, ὃ γοῦν ὁ Πέτρος ἐν τῷ τάφῳ ὁρῶν κατεπλήττετο φῶς εἰς ἀπόδειξιν προχειρίσασθαι; Ἀλλὰ γὰρ ᾔδει μὲν ὡς τὸ φῶς ἐκεῖνο οὐ πρὸ τῆς ἀναστάσεως, ἀλλὰ μετὰ τὴν ἀνάστασιν ὤπται τῷ Πέτρῳ καὶ οὐδὲ ἔξωθεν τοῦ τάφου ἐπὶ τοῦ μνημείου ἄνωθεν τοῦ σπηλαίου ῥυτῶς ἀνακεχυμένον καὶ δραξὶ ταῖς τῶν μυροφόρων ἢ τοῦ Πέτρου δίκην ὕδατος ἀρυόμενον, ἀλλ' ἐν αὐτῷ τῷ τάφῳ ἀναφῶς ἐξαστράπτον καὶ οὐδὲ περὶ σταθεράν που τῆς ἡμέρας μεσημβρίαν, ἀλλ' ἕωθεν κατὰ μὲν τὸν Εὐαγγελιστὴν σκοτίας, κατὰ δὲ τὸν ἐκ Δαμασκοῦ φωστῆρα νυκτὸς ἔτι οὔσης. Ἤδει δὲ καὶ ὡς φῶς τὸ ἀχειροποίητον, φημὶ δὴ τὸ ἄνωθεν ἐκ τοῦ πατρὸς τῶν φώτων καταβαῖνον καὶ ἄϋλον, καὶ χερσὶν ἀνέπαφον καὶ οὐδὲ ὅλως εἴτ' οὖν ποτε καυστικόν, ἧς ἂν ἐπεδράξατο ὕλης, εἴ γε ὅλως καὶ δῶμεν ὕλης τινὸς τὸ ἄϋλον εἰς φαῦσιν εἶναι ἐπιδεές. Ἀπόρροια γάρ τις οὖσα καὶ οἷον ἀπόμοιρα τοῦ ἐν τῇ παλλιγγενεσίᾳ ἀνεσπέρου ἐκείνου φωτός, ἐν ᾗ οἱ δίκαιοι ἐκλάμψουσιν ὡς ὁ ἥλιος, καυστικῆς ἐνεργείας πάμπαν ἀπήλλακται, ὡς οὐχὶ τοῦ ἐμπύρου τοῦδε φωστῆρος, ἀλλὰ τοῦ νοητοῦ τῆς δικαιοσύνης ἡλίου ὂν ἀπαύγασμα, ὃς ὡς δρόσος φησὶν ἔσται τῷ Ἰσραὴλ καὶ φῶς αἰώνιον. Καὶ τί λέγω φῶς; Ὁπότε οὐδὲ φλὸξ ἀχειροποιήτου πυρὸς καίειν ὅλως πέφυκεν ἧς ἂν ἅψαιτο ὕλης. Οὔτε γὰρ ὁ ὑπὸ τὸ Σινᾶ βάτος ἐκεῖνος ἐν φλογὶ πυρὸς καιόμενος κατεκαίετο, οὔθ' ἡ σκηνὴ τοῦ μαρτυρίου ἐπυρπολεῖτο, νεφέλης ἐν ὕλῃ πυρὸς οὕτως αὐτὴν καὶ κατακαλυπτούσης καὶ πληρούσης, ὡς μὴ δύνασθαι τὸν Μωυσῆν εἰσελθεῖν εἰς τὴν σκηνήν. Ἀλλ' οὐδὲ τοῦ Σινᾶ αἱ ἐπ' αὐτοῦ ἕως τοῦ οὐρανοῦ καιόμεναι λαμπάδες πυρὸς ἥψαντο ὅλως. Τὰς γὰρ ἐφ' ἕνα ἕκαστον τῶν ἀποστόλων ἀφλέκτως καθεσθείσας ὡσεὶ πυρὸς γλώσσας παρήσειν μοι τέως δοκῶ. Ἡ δὲ ὑγρόϋλος ἐκείνη καὶ ἀμυδρόφωτος φλὸξ ἐκδαπανήσασα μὲν τὴν ἑαυτῆς πνευματώδη καὶ φλογοτρόφον ὕλην, τὴν ἐκ τῆς αὐτομάτως ὑφάπτειν πεφυκυίας πυρίτιδος κόνεως ἐξάπτουσαν, σβεσθεῖσα μᾶλλον δὲ ἐκλιποῦσα οἴχεται, παχυτέρας δέ τινος ὕλης δραξαμένη τοῦ πυρὸς οὐδὲν ἔλαττον αὐτὴν ἐπινέμεται, ἐξ οὗ ἐδόκει φωτὸς ἀπύρου εἰς καυστικὸν αὐτόχρημα πῦρ μεταβάλλουσα, μᾶλλον δὲ ἑαυτὴν ὁποία τις οὖσα τὴν φύσιν ἐν προοιμίοις ἐλάνθανεν ἐξελέγχουσα. Ἢ οὐχὶ πῦρ οὖσα ἐλέγχεται, ἥτις δέσμας ὅλας κηρίων κατέδεται; Εἰ δέ που καὶ τὸ ἀχειροποίητον εἴτ' οὖν ἐξ οὐρανοῦ πῦρ ἀναλωτικόν, ὅ ἐστι καυστικόν, ὤπται, ἀλλ' οὐχὶ πῦρ, ἀλλὰ φῶς φασι καὶ ἄπυρον καὶ ἁπτὸν εἶναι τὴν ἐπὶ τοῦ μνημείου ἀμυδρόφωτον ἐκείνην ἀνάχυσιν. Τίνα οὖν λόγον τὸ ἐν προοιμίοις καὶ ἄπυρον, ὥς φασι, καὶ ἁπτὸν ἐκεῖνο φῶς εἰς πῦρ ἀναφές τε καὶ παμφάγον μετὰ βραχὺ μεταβάλλει

Institutional Repository - Library & Information Centre - University of Thessaly
11/05/2024 23:32:26 EEST - 3.15.2.13

μὴ προκειμένων μήτε νομικῶν θυσιῶν εἰς ὁλοκαύτωσιν, μηθ᾽ ὧν τὸ ἀχειροποίητον πῦρ εἰώθει ἐκ θεομηνίας κατέδεσθαί, φημι δὴ γογγιστῶν τινων ἢ Κοριτῶν ἢ Ἀχαὰβ ἀποστόλων; Ποῦ δὴ καὶ εὕρηται τῆς Γραφῆς ἢ τὸ ἀναλωτικὸν πῦρ ἐξ ἀπύρου φωτὸς μεταβεβληκὸς ἢ τὸ ἄπυρον φῶς εἰς πῦρ μεταβάλλον; Ὅτι δὲ οὐκ ἄπυρος, ἀλλ᾽ ἔμπυρός ἐστι καὶ καθ᾽ ἑαυτὴν ἡ ἀμυδρόφωτος ἐκείνη καὶ ἀδρανόφλοξ ἀνάχυσις μάρτυς, ἵνα, ἃ κατέδεται κηρία ἐάσω, καὶ αὐτὸς οὗτος ὁ ὑφ᾽ οὗ, ὥς φασιν, ἐξέδωκε φωτὸς διερρηγμένος ὑποδεικνύμενος κίων, εἴ γε οὐχὶ φωτὸς ἀπύρου, ἐμπύρου δὲ μάλιστα φλογὸς καὶ ἁπλῶς πυρὸς τὸ ῥήσσειν τὰ ἐν οἷς ὅπως ποτ᾽ ἂν ἅψοι στεγανοῖς σώμασιν, ἵνα τί δὴ μὴ ὥσπερ ἐκ τοῦ ἐπιταφίου λίθου οὕτω τοι καὶ ἐκ τοῦ κίονος ἀρρήκτως τὸ φῶς τηνικαῦτα ἐξέθορεν; ἢ οὐχὶ πρόδηλον ὡς ἐμβόλιμον ἔσχεν ὁ κίων ἐγχειριδίῳ τρηθείς, ἣν ὡς ῥευστὴν οὐχ οἷός τε ἦν ἐπὶ τῆς ὀρθίας καὶ κυλινδρικῆς ἐπιφανείας ἀρρεύστως συσχεῖν μέχρι τῆς αὐτομάτου ἐξάψεως πνευματώδη ὕλην; Ἵνα τί δὲ καὶ τῶν Ἀρμενίων, ὥς φασι, τὸ τηνικαῦτα τὸ τοῦ Κυρίου μνῆμα προκατασχόντων οὐχὶ ἐκ τῆς ἐν τῷ βήματι ἱερᾶς τραπέζης, τῆς τὸν τάφον τοῦ Κυρίου τυπούσης, ἀνεδόθη τὸ φῶς, ἀλλ᾽ ἐκ τοῦ ἔξωθεν κίονος; τί γὰρ κοινὸν κίονι καὶ τῷ ζωοδόχῳ τάφῳ; τίνα δ᾽ αὖ λόγον οὗτινος τοῖς Ἀρμενίοις τὸ τηνικαῦτα ὁ φωτοδόχος τοῦ Κυρίου τάφος ὡς ἀναξίοις μεταδοῦναι, ὥς φασιν, οὐκ ἠξίωσε, τούτου σφίσιν ὁ φωτεκφόρος κατ᾽ ἔτος ὡς ἀξίοις μεταδίδωσι τῶν χαρίτων τῇ μὲν τοῖς πιστοῖς, τῇ δὲ τοῖς Ἀρμενίοις, ἅμα καὶ ὡσαύτως φωτοδοτῶν; Οὐδὲν γὰρ διοίσει εἴτε ἀμέσως ἀπὸ τοῦ τάφου εἴτε ἐμμέσως διὰ τῆς φωτεκφόρου ὕλης τοῖς ἀναξίοις Ἀρμενίοις ὅσα καὶ τοῖς ἀξίοις πιστοῖς τὸ ἐπιτάφιον φῶς μεταδιδόμενον. Καὶ δῆτα δυοῖν ἀνάγκη θἄτερον ἢ μὴ κἀκείνοις φωτοδοτεῖν ἢ τὸν διερρωγότα κίονα κατορύττειν, ὡς μηδ᾽ ὁρᾶσθαι τὸ σύνολον, εἴ γε Ἀρμενίοις φωτοφορία καὶ κίονος, ἵνα μὴ φωτοφορῶσι, ῥῆξις ἀλλήλοις ἀσυμβίβαστα. Ἀλλ᾽ ὁ κίων, φασί, ἐρράγη, οὐχ᾽ ἵνα μὴ κἀκεῖνοι φωτοφορῶσιν, ἀλλ᾽ ἵνα μὴ πρῶτοι ἐκεῖνοι φωτοφορήσαντες τὴν τῶν πρωτείων ἀνατρέψωσι, ταὐτὸν εἰπεῖν, ὑφαρπάσωσι τάξιν, οἱ ἔσχατοι πρῶτοι γενόμενοι. Καὶ μὴν εἰς ἔλεγχον, μᾶλλον δὲ καὶ ἀνατροπὴν τῆς περὶ τὰ πρωτεῖα ἀταξίας αὐτάρκης οὖσα μόνη ἡ τοῦ εἰθισμένου φωτὸς ὑποστολή, περιττήν, μᾶλλον δὲ καὶ περίεργον ἐλέγχει τὴν τοῦ κίονος φωτοπάροχον ῥῆξιν, τοῦ μηδέν, ὡς εἴρηται, κοινὸν πρὸς τὸν τοῦ Κυρίου τάφον ἔχοντος, καθότι καὶ τὸν Κάϊν ὁ Θεὸς οὐδὲν ἄλλο ἢ ἐπὶ ταῖς θυσίαις αὐτοῦ μόνον μὴ προσχὼν ἀπεδοκίμασεν. Εἶτα ὁ τὸν κίονα, ἵνα μὴ τάξις πρωτείων ἀνατραπῇ, ἐξερρωγότα δεικνύς, πῶς ποτε αὐτὸς περὶ τὸν τῆς φωτοφανείας καιρὸν ἀτακτεῖ πρωθύστερον φωτεκφορῶν; ἢ γὰρ οὐχὶ καὶ οὗτος τὰ τῆς ἀναστασίμου πρεσβεῖα προαρπάζων τῷ πρὸ αὐτῆς νεκρωσίμῳ Σαββάτῳ ταῦτα ἀτάκτως κληροδοτεῖ, τὸ μὲν Σάββατον ταῖς τῆς ἀναστασίμου φωτοφανείαις καταγλαΐζων, τὴν δὲ ἀναστάσιμον τὸ μὲν εἰς τὴν ἰδίαν ἑαυτῆς φωτοφάνειαν ἧκον ἀφωταγώγητον ἄγων, ᾗ δὲ κακείνη, λαμπαδουχεῖ μέν, οὐ

Institutional Repository - Library & Information Centre - University of Thessaly
11/05/2024 23:32:26 EEST - 3.15.2.13

μὴν οἴκοθεν, ἀλλ' ἐκ τῆς τοῦ Σαββάτου φωτοφανείας μεταλαβοῦσα τὸ φῶς ταύτῃ γε τὰ δευτερεῖα ἔχουσαν δεικνύς. Ἀλλ' οὐδὲ ὑπὲρ πρεσβείων, φασίν, ἡ ἐκ τοῦ διερρωγότο ςκίονος φωτοφάνεια, ἀλλ' ὡς κατ' ἐξαίρετον τοῖς Ἱεροσολυμίταις ἄνωθεν, ὅ ἐστιν ἀρχῆθεν, ἀποκεκληρωμένον ἐν θεοσδότῳ φωτοφανείᾳ ἄγειν τὴν τοῦ Κυρίου ἀνάστασιν, τοῦ οὐδαμοῦ, ἀλλ' ἢ ἐν Ἱεροσολύμοις εὐδοκήσαντος τὰ τῆς ἐνσάρκου οἰκονομίας ἐκτελέσαι. Καὶ τούτου, φασί, σαφὴς ἀπόδειξις αὐτὸς οὗτος ὁ ζωοδόχος τοῦ Κυρίου τάφος κατ' ἔτος διδοὺς ἀχειροποίητον φῶς, οὗτινος κατασχεθέντος τὸ τηνικαῦτα ὑπὸ τῶν Ἀρμενίων τὸ ἐκείνου φῶς ἐκ τοῦ διερρωγότος ἀνέθορε κίονος. Πόθεν οὖν δῆλον ὡς καὶ ἡ ἐκ τοῦ διερρωγότος κίονος φωτοφάνεια καὶ ἐπιτάφιος καὶ ἀχειροποίητος ταὐτὸν εἰπεῖν θεόσδοτος τοῦ μηδέν, ὡς εἴρηται, κοινὸν πρὸς τὸν ζωοδόχον τάφον ἔχοντος, ὁπότε, οὐδ' αὐτή, ἡ ἀπό, μᾶλλον δὲ ἡ ἐπὶ τοῦ ζωοδόχου τάφου, ὁμολόγου ἀχειροποίητος ὡς οὐκ ἐν ταῖς ἁπάντων ὄψεσιν, ἀλλὰ καὶ ἐν ἀπροσίτῳ σκότει (φημὶ δὴ ἐν ἀθυριδώτῳ καὶ κεκλεισμένῳ τῷ κουβουκλίῳ) καὶ ἐν πανυπόπτοις προφυλακαῖς τε καὶ προδιαθέσεσιν ὑφισταμένη τε καὶ ἀναδιδομένη; Πῶς δὲ καὶ ἀρχῆθεν λέγουσι τοὺς Ἱεροσολυμίτας ἐν θεοσδότῳ φωτοφανείᾳ τελεῖν τὸ Πάσχα, οἱ ἀδυνατοῦντες δεῖξαι, ἣν λέγουσι θεόσδοτον φωτοφάνειαν ἐμφαινομένην ὑπὸ τῆς τοῦ Κυρίου ἀναλήψεως ἄχρις οὗ ὁ μέγας Κωνσταντῖνος σὺν τῷ Γολγοθᾷ καὶ τὸν τοῦ Κυρίου τάφον εἰς τοὐμφανὲς ἀναχώσας κατέστησεν. Εἰ δὲ φήσουσιν, ὡς ἐξ ὅτου ὁ ζωοδόχος τάφος εἰς τοὐμφανὲς κατέστη, ἔκτοτε καὶ τὸ ἀχειροποίητον φῶς ἀναδίδοται, οὐκοῦν, ἐπειδὴ οὐδὲ τοῦτο ἔκ τινος ἱστορίας ἀξιοπίστου πιστοποιεῖν ἔχουσιν (ὃ γὰρ ὁ Πέτρος κατὰ τὸν ἐκ Δαμασκοῦ φωστῆρα ἑωράκει ἐν τῷ τάφῳ φῶς εἰκὸς ἐκλιπεῖν τοῦ τάφου, ἄχρις οὗ ἡ μακαρία βασιλὶς Ἑλένη αὐτὸν ἀνεκάθηρε τοῖς τῆς πόλεως, ὡς ὁ λόγος, φορητοῖς τε καὶ περικαθάρμασι κατακεχωσμένον) ἐάσθων, εἰ δοκεῖ, (καὶ μηδεὶς ἡμᾶς ταύτης τῆς περιεργείας καταιτιάσθω ἀκαταιτίωτον εἰδὼς τὸν ἐπὶ τοῖς τοιούτοις πολλῷ ἡμῶν περιεργότερον Θωμᾶν) ἐάσθων, φημί, αἱ μὲν ἔν τε τῷ ναῷ καὶ τῷ κουβουκλίῳ ἀπηωρημέναι φωταγωγοὶ εἴτ' οὖν κανδῆλαι ἀνεπισκεύαστοι (λέγω δὴ τό τε ἔλαιον καὶ τὰς θρυαλλίδας ἀνεγκαινίαστοι) ἀψηλάφητοί τε καὶ ὅλως ἀνέπαφοι, ἡ δὲ τοῦ κουβουκλίου θύρα ἀνεῳγμένη, μᾶλλον δὲ ἐκ περιουσίας καὶ θυρίδες πάντοθεν, κύκλῳ φημὶ τοῦ κουβουκλίου, ἐξανοιγέσθωσαν (ἡ γὰρ ἀκριβὴς περιέργεια καὶ αὐτὸ τὸ ἀθυρίδωτον κουβούκλιον περιαιρεῖσθαι ἐθέλει), ἵνα ᾖ καὶ αὐτὸς οὗτος ὁ ἐπιτάφιος λίθος πανταχόθεν πᾶσι τοῖς περιεστῶσι ὅλος καθ' ὅλην αὐτοῦ φημὶ τὴν ἐπιφάνειαν διαφαινόμενος (τί γὰρ κωλύει μὴ ἐν σκοτομήνῃ, ἀλλ' ἐν ὄψεσι πάντων ὁρᾶσθαι τὴν ἀρχὴν ἀναθρῶσκον εἴτ' οὖν ἀναχεόμενον τὸ ἐπιτάφιον ἐκεῖνο φῶς, εἴ γε καὶ κατὰ τὸν ἀπόστολον πᾶν τὸ φανερούμενον φῶς ἐστιν, ἢ οὐχὶ καὶ Ἠλιοῦ τῆς ἰδίας θυσίας, τὸ πάντῃ ἀνεπίληπτον πραγματευόμενος ἐπ' ὄψεσι πάντων καὶ κατακλυσμῷ ὑδάτων αὐτὴν ἐσπαργάνωσε καὶ τὸ οὐράνιον πῦρ κατήγαγεν οὐχὶ πάλαι ἢ ἄρτι ὁλοκαυτωμένην (ὡς οἱ ἱερεῖς τοῦ

Institutional Repository - Library & Information Centre - University of Thessaly
11/05/2024 23:32:26 EEST - 3.15.2.13

Βὴλ πάλαι δεδαπανημένα τὰ παρατιθέμενά οἱ) ἀλλ᾽ ἤδη μᾶλλον ὁλοκαυτουμένην αὐτὴν παριστάς. Οἱ δὲ θυρωροὶ ἀποστήτωσαν, μᾶλλον δὲ στήτωσαν μὲν οὐ μὴν οἱ ἐθισμένοι ᾽Αγαρηνοί, ἀλλὰ τῶν παρεπιδήμων προσκυνητῶν οἱ περιεργότεροι. Οἱ δὲ τοιοῦτοι φιλοπραγμονήσαντες πρότερον αὐτοψεὶ τοῦ ἐπιταφίου λίθου τὴν ἐπίπεδον ἐπιφάνειαν, μᾶλλον δέ, εἰ δοκεῖ, καὶ τὸν λίθον αὐτὸν ὅλον ὕδατι καθαρῷ αὐτοχείρως ἀποσμήξαντες, οὐ μὴν ἀλλὰ καὶ ὑδρίας ὕδατος κατὰ ζῆλον ᾽Ηλιοὺ ἢ καὶ μὴ τρίς, ἅπαξ γοῦν, ἐπιχέαντες, στήτωσαν ἔπειτα ἔξωθεν (πρὸ τῆς θύρας ἀνεῳγμένης, ὡς εἴρηται) ἐκ διαδοχῆς διείργοντες πρὸ παντὸς αὐτοῦ τούτου τοῦ φωτεκφόρου τὴν εἴσοδον, μᾶλλον δὲ καὶ τὴν παρουσίαν αὐτήν, ἀπὸ τῆς πρωΐας τῆς μεγάλης πέμπτης ἄχρι πρωΐας τῆς ἀναστασίμου, κἀπειδὰν ἐπιφωσκούσης τῆς ἀναστασίμου φωταύγειά τις ἐπ᾽ ὄψεσι πάντων ὀφθῇ αὐτομάτως ἐπὶ τοῦ μνημείου ἀναθρώσκουσα, εἴτ᾽ οὖν ἀναχεομένη τε καὶ ἐπικυμαίνουσα, τηνικαῦτα προσκληθεὶς εἰσίτω ὁ φωτεκφόρος (εἴθ᾽ ὁ Ἱεροσολυμίτης εἴτε τις ἄλλος τῶν παρεπιδήμων ἐπισκόπων, καθ᾽ ὅτι οὐχὶ μείζων ἢ κρείττων ἡ διακονία ἐκείνη τῆς ἀναιμάκτου θυσίας, ἧς συλλειτουργὸς γίνεται ἐν ἑκάστῃ παροικίᾳ πᾶς παρεπίδημος εἴτ᾽ οὖν ὑπερόριος ἐπίσκοπος) καὶ περιδραξάμενος ἀμφοῖν, ὥς φασιν, ταῖν χεροῖν, ὁποῖον ποτ᾽ ἂν ᾖ τὴν ἁφήν, φημὶ δὴ τὴν ὕλην, τὸ χαμερπῶς ἐπικυμαῖνον ἐκεῖνο ἔξαμμα, εἴτε ἔμπυρόν φημι εἴτε ἄπυρον, (μὴ γὰρ δὴ οὕτω φρενῶν ἐκσταίημεν ὥστε τοῦ ὑλικοῦ τοῦδε εἴτ᾽ οὖν ἡλιακοῦ καὶ ἁπλῶς φυσικοῦ φωτός, αὐτοῦ καθ᾽ ἑαυτὸ ἀναφοῦς ὄντος τὸ ὑπερφυὲς χείραπτον οἴεσθαι) πυρσευέτω τοῖς ἔξω, ἐν οἷς ἧψε σπιρτοδεύτοις κηρίοις· οὕτω γὰρ ἂν εἴη καὶ προνοούμενος κατὰ τὸν ἀπόστολον καλὰ ἐνώπιον καὶ Θεοῦ καὶ ἀνθρώπων καὶ συνείδησιν ἔχων ἀπρόσκοπτον καὶ πρὸς τὸν Θεὸν καὶ πρὸς τοὺς ἀνθρώπους, ἔτι μὴν καὶ οὗ ὑποδείκνυσι διερρωγότος κίονος πολλῷ ἀξιοπιστότερον. Εἰ δὲ μόνος μὲν καὶ καθ᾽ ἑαυτὸν τὰ ἐντὸς τοῦ ἀθυριδώτου κουβουκλίου ἐν σκοτομήνῃ προδιαθέμενος καὶ κατασφραγίζειν τὴν τούτου θύραν ἀξιῶν καὶ θυρωροὺς ἀποτόμους ἐφίστησιν (οὐχὶ ἵνα μὴ παρά του φῶς, ὥς φασιν, ἐπεισαχθῇ χειροποίητον· πῶς γὰρ μυριάνδρου τῶν θεωρούντων περιεστώσης πληθύος; ἀλλ᾽ ἵνα μὴ ἡ τοῦ χειροποιήτου φωτὸς λανθάνουσα προδιάθεσις ὑπανοίξαντός του τὴν θύραν φωραθῇ). Τὰς δὲ ὑπὸ τοῦ νεωκόρου σύμπαντα τὸν ἄλλον χρόνον ἐπισκευαζομένας ἐν τῷ ναῷ φωταγωγούς, φημὶ δὴ τὰς ἀπῃωρημένας κανδήλας, τὸ τηνικαῦτα μόνος αὐτὸς αὐτοχείρως περιιὼν προσδιασκευάζει (ἵνα δῆλον ὅτι μία τις τούτων τῆς ἀπὸ τοῦ δυνάμει ἐπὶ τὸ ἐνεργείᾳ ἤδη προόδου τῆς ἐν τῷ κουβουκλίῳ προδιαθέσεως τῇ ταυτοπαθείᾳ προάγγελος γένηται). Σημείου γὰρ ἔξωθεν προφανοῦς τῆς ἔσωθεν ἀφανοῦς εἴτ᾽ οὖν ἐγκλείστου φωταγωγίας μὴ προεπισκευασθέντος, εἰκὸς μὴ κατ᾽ αὐτὴν ταύτην τὴν φωταγωγίαν, ἀλλὰ μικρὸν πρὸ αὐτῆς καὶ μετ᾽ αὐτὴν ἤδη διαπνευσθεῖσαν εἰσελθόντα καθ᾽ ἑκατέρας τὰς εἰσόδους διαμαρτεῖν τῆς φωτεκφορίας. Τῶν δὲ ἀνὰ χεῖρας κηρίων τὰ φωτύλια κτενίῳ προαναξαίνει καὶ σικεροπνεύματι εἴτ᾽ οὖν σπίρτῳ

Institutional Repository - Library & Information Centre - University of Thessaly
11/05/2024 23:32:26 EEST - 3.15.2.13

ἐπιδεύει, ἵνα μὴ ἡ ὑγρόϋλος ἐκείνη ἐμπυραύγεια τὸ τῆς ἰδίας ὕλης πνευματῶδες καθ᾽ ἑαυτὴν δαπανήσασα μετὰ βραχὺ ἀποπνεύσῃ, ἀλλὰ διὰ συγγενοῦς πάλιν ὕλης· πνευματῶδες γάρ τι καὶ τὸ σπίρτον τῶν κηρίων ἀψαμένη διαρκὴς ᾖ, ἐπιτρέπει δὲ τὴν φωτεκφορίαν οὐδενί, τῶν παρεπιδήμων ἐπισκόπων, οὐδ᾽ ἂν ᾖ τις τούτων τὴν ἀρετὴν καὶ τὴν ἁγιότητα ἄλλος ἀδελφόθεος, ἀλλ᾽ ἢ αὐτῷ μόνῳ· τῶν δ᾽ αὖ περιεστώτων προσκυνητῶν καὶ αὐτὸν εἰ τύχοι τὸν σφόδρα ἐπιφανῆ καὶ αἰδέσιμον, ἔτι μὴν καὶ σύμπαντας τοὺς ἄλλους τῇ χρηματοδοσίᾳ παρευδοκιμήσαντα, εἴπερ τῆς θύρας ἤδη ἀνοιγομένης τῷ φωτεκφόρῳ περιέργως συνεισελθεῖν πειραθείη, εἰσπεσόντες ἀθρόως οἱ θυρωροὶ οὕτως αὐτὸν τῶν ἐν χερσὶ φραγκελλομαστίγων ταῖς νιφάσι διατιθέασιν, ὡς μικροῦ φοράδην αὐτὸν οἴκαδε ἀπάγεσθαι. Ἔστ᾽ ἂν φημι ταῦτα ἐπιτηδεύηται, οὐδ᾽ ἂν πλείους ὑποδειχθῶσι διερρωγότες κίονες, οὐθ᾽ οὕτω πτοήσουσιν ὅλως οἱ ἐν αὐτοῖς ὑπεμβόλιμοι πρηστῆρες τοὺς τὸν ζωοδόχον τοῦ Κυρίου τάφον καὶ δίχα τῆς φωτοφανείας οὐδὲν ἧττον καὶ πανσέβαστον ὄντα εἰδότας καὶ πάντιμον καὶ προσκυνητόν· τὸ γὰρ τὴν παντὸς μᾶλλον πιστωτικὴν περιέργειαν τῶν κατὰ Θωμᾶν φιλοπραγμόνων ὑποπαραιτεῖσθαι, ἣν οὐθ᾽ ὁ Κύριος ἡμῶν ἀπεποιήσατο, ἔλεγχος ἂν εἴη σαφὴς τοῦ δραματουργίαν αὐτόχρημα εἶναι, ἅττα καὶ διὰ πολλῶν ἄλλων ὁ λόγος ἐξήλεγξεν, οὐχ ὡς ταῖς θεοσημείαις ἐξαπιστεῖν· τί γὰρ ἀδυνατεῖ τῶν θεοπρεπῶν τῷ Θεῷ, ἀλλ᾽ ὡς εἰδὼς τὰ μὲν ἀρχαῖα σημεῖα κατά τε τὰς γλώσσας καὶ τὰς προφητείας πάλαι πεπαυμένα, τὴν δὲ ἐπιτάφιον ἐκείνην φωταγωγίαν οὔτε ἀρχαίως ποθὲν ἀποδεδειγμένην, ἀλλὰ καὶ θεόσδοτον ἄλλως ὑποτεθεῖσαν ἔκ γε μὴν τῶν περὶ αὐτὴν ἐπιτηδευμάτων ἀποφάσκουσαν τοῦθ᾽ ὅπερ καὶ λέγεται· τὰ γὰρ παρὰ τῶν ἐν προοιμίοις ἀξιοπίστων ἐκείνων ἀνδρῶν περὶ αὐτῆς εἰρημένα παρήσειν μοι τέως δοκῶ ὡς καὶ παρά τινων ἄλλων ἁγιοταφιτῶν ἔστιν οἷς τῶν τὴν φωτεμπορίαν διελεγχόντων ὑποψιθυριζόμενα. Σκοπεῖν δ᾽ ἐπὶ πᾶσι τοῖς εἰρημένοις κἀκεῖνο· ὁμόλογον ὡς ἡ τῶν ἑκασταχοῦ ἐκκλησιῶν ἱερὰ τράπεζα τυποῖ, ὡς προείρηται, τὸν τοῦ Κυρίου τάφον. Τί οὖν δήποτε οἱ Ἱεροσολυμῖται δέον μάλιστα ἐπ᾽ αὐτοῦ τούτου, τοῦ τῶν ἱερῶν τραπεζῶν ἀρχετύπου, τοῦ ἐπὶ τοῦ τάφου, φημί, ἁγίου λίθου λειτουργεῖν, οἱ δὲ ἐπὶ τούτου μὲν οὐδαμῶς, ἀλλαχοῦ δὲ προσφέρουσιν ἢ πάντως δι᾽ ἣν ἐπ᾽ αὐτοῦ οἱ παπίσται καὶ οἱ Ἀρμένιοι καὶ Χαμπέσιοι τελοῦντως μιαρὰν καὶ κατὰ τὸν ἱερομάρτυρα Κυπριανὸν βέβηλον ἑαυτῶν τελετὴν βεβηλοῦσιν οὐ λέγω τὸν ἐν μυχοῖς τοῦ Κυρίου τάφον· οὗτος καὶ γὰρ οὐχ ὅπως τοῖς παρεπιδήμοις προσκυνηταῖς, ἀλλ᾽ οὐδ᾽ αὐτῶν τῶν ἁγιοταφιτῶν τοῖς πλείστοις ἁπτός, μᾶλλον δὲ οὐδὲ ὁρατὸς ὅλως ἐν ἀδύτοις, ὡς εἴρηται, μυχοῖς κείμενος, ἀλλὰ τὸν ἐπιτάφιον λίθον (εἰ γὰρ αἱ τῶν ἀσεβῶν θυσίαι βδέλυγμα τῷ Θεῷ κατὰ τὸν παροιμιαστήν, οἱ δὲ αἱρετικοὶ κατὰ τοὺς ἀποστολικοὺς κανόνας εἰσὶ καὶ ἀσεβεῖς καὶ ἄπιστοι, αἱρετικοὶ δὲ καὶ οἱ Λατῖνοι ὡς τῆς αὐτῶν πρὸς ἡμᾶς διαφορᾶς περὶ τῆς εἰς Θεὸν πίστεως καὶ ἁπλῶς περὶ δόγματος οὔσης, ὥσπερ

Institutional Repository - Library & Information Centre - University of Thessaly
11/05/2024 23:32:26 EEST - 3.15.2.13

ἐστὶν ὁ ὅρος τῆς αἱρέσεως κατὰ τὸν α΄ κανόνα τοῦ μεγάλου Βασιλείου καὶ αἱ τῶν Λατίνων ἄρα θυσίαι καὶ ἁπλῶς αἱ ἀτέλεστοι τελεταὶ βδέλυγμά εἰσι τῷ Θεῷ ταὐτὸν εἰπεῖν ἀκάθαρτοι)· μιαίνεται γὰρ ἐκ τῶν ἀκαθάρτων οὐ μόνον τὰ κοινὰ κατὰ τὸν Ἀγγαῖον καὶ τοὺς ἀποστολικοὺς κανόνας (46), ἀλλὰ καὶ τόπος ἱερὸς καὶ ναὸς ἅγιος κατὰ τὸν Δαυΐδ. Ὁ γοῦν ἐπιτάφιος ἐκεῖνος λίθος, ὁ οὐ μᾶλλον διὰ τὸν ἐνδόμυχον τοῦ Κυρίου τάφον ἅγιος ἢ διὰ τὴν ἐπ᾽ αὐτοῦ τῶν βεβήλων αἱρετικῶν τελετὴν βέβηλος κἀντεῦθεν τῆς ἀναιμάκτου θυσίας ἀνεπίδεκτος ὅπως ποτὲ φωτός, ὥς φασιν, ἁγίου γίνεται ἐπιδεκτικός. Ἐπεὶ δὲ πρὸ τούτου ὁ λόγος ἠξίου τοὺς τῶν ἐν Ἱεροσολύμοις ἱερῶν τόπων φιλοθεάμονας πέμπειν μᾶλλον ὥς ποτε ἡ Μακεδονία καὶ Ἀχαΐα ἣν ἂν ἐκεῖ γινόμενοι ἐχορήγησαν τοῖς τῷ ζωοδόχῳ τάφῳ προσεδρεύουσιν εὐλογίαν, αὐτοὺς δὲ μένοντες κατὰ χώραν κερδαίνειν μὲν τὰς καθ᾽ ὁδόν τε καὶ ἐπάνοδον καὶ πολυμόχθους καὶ πολυδαπάνους, ἔστι δὲ οἷς καὶ ἐπικινδύνους ταλαιπωρίας κερδαίνειν δὲ καὶ ὅσα ἂν παρὰ τὴν εἰρημένην εὐλογίαν τῶν ἐκεῖ Ἀγαρηνῶν τοῖς τοποτηρηταῖς τε καὶ ὁδοστάταις προσεπεχορήγησαν· (τούτων καὶ γὰρ ταῖς εἰθισμέναις εἰσπράξεσιν εἶεν ἂν ἱκαναί, μᾶλλον δὲ καὶ ὑπερίκανοι αἵ τε ἐν μιᾷ ἑκάστῃ τῶν ἁπανταχοῦ τῆς γῆς ἐκκλησιῶν καθ᾽ ἑκάστην μεγαλώνυμον ἡμέραν καὶ ἀπαραιτήτως καὶ προηγουμένως γινόμεναι λογίαι καὶ αἱ τῶν ἑκασταχοῦ μετοχίων ἁδραὶ συνεισφοραὶ παρεκτὸς ὧν ἥ τε τοῦ προέδρου καὶ μάλιστα ἡ τῶν ὑπ᾽ ἐκείνου ἐξαποστελλομένων παγκόσμιος περιήγησις ἐκ περιουσίας συνεισφέρει καὶ ἐμπόρων ἐμπορίας καὶ ναυκλήρων ποντοπορίας καὶ εὐπόρων περιουσίας καὶ ἀπόρων ὑστερήματα καὶ ἀπερίττων αὐταρκείας καὶ τεθνεώτων διαθήκας καὶ ἁπλῶς ὀλίγου δεῖν ἅπαντας ζῶντάς τε καὶ νεκροὺς δασμολογοῦσα, τῶν δὲ ζώντων τοὺς πλείστους καὶ δι᾽ ὧν μάλιστα σφισι τὴν τῶν ὧν πνευματικοῖς πατράσι προεξηγόρευσαν περιττῶς, ὡς ἂν εἴποι τις, μνηστεύεται ἔγγραφον, ἵνα μὴ λέγω ὠνητὴν ἄφεσιν). Κερδαίνειν δέ φημι διανέμοντας ταῦτα τῶν πατριωτῶν τοῖς ἐνδεέσιν, ἵνα ὥσπερ ὑπὲρ ἧς ἔπεμψαν εὐλογίας, οὕτω τοι καὶ ὑπὲρ ὧν τοῖς ἀδελφοῖς τοῦ Χριστοῦ μᾶλλον ἢ Ἀγαρηνοῖς τε διένειμαν κἂν ταῖς ὁδοιπορίαις ἀνήλωσαν ἔχωσι τὸν μισθόν. Ἐπεί, φημι, οὕτως ἠξίου ὁ λόγος. Ἐξεδόθη δὲ συνοδικὸν τοὺς τὴν τοιαύτην ὁδοιπορίαν κωλύοντας ἐπιτιμίοις καθυποβάλλον, ῥητέον δὲ καὶ πρὸς τοῦτο ὅτι οἱ κανονικῶς ἐπιτιμητέοι τῶν παρ᾽ ἐντολήν τι ποιούντων ἢ λεγόντων ὁμόλογοί εἰσι κατὰ τὸν β΄ κανόνα τῆς ἐν Τρούλλῳ καὶ ἁπλῶς τῶν ἐντολήν τινα ἐκκλησιαστικὴν εἴτ᾽ οὖν κανονικὴν ὅπως δήποτε παραλυόντων (καὶ γὰρ τὸ δεσμεῖν καὶ λύειν καὶ κατ᾽ αὐτὸν τὸν Κύριον, τὸν τούτου τὴν Ἐξουσίαν τοῖς ἀποστόλοις καὶ δι᾽ ἐκείνων τοῖς ἐκείνων διαδόχοις δόντα, οὐχ ἁπλῶς, ἀλλ᾽ ἐπὶ μόνων τῶν ἁμαρτημάτων ἔχει τὴν χώραν· λάβετε γάρ φησι Πνεῦμα ἅγιον, ἄν τινων ἀφῆτε τὰς ἁμαρτίας ἀφίενται αὐτοῖς, ἄν τινων κρατεῖτε κεκράτηνται). Ἁμαρτήματα δὲ τὰ διὰ τῶν πνευματοληπτῶν δετέα ἢ λυτέα εἰσὶν οὐ πάνθ᾽ ὅσα ἁπλῶς τοῖς αὐτοῖς ἀπαρέσκει, ἀλλὰ μόνα τὰ ἐν παραβάσει θείας ἐντολῆς τολμώμενα. Ἀλλὰ μὴν τῆς εἰρημένης ὁδοιπο-



Institutional Repository - Library & Information Centre - University of Thessaly
11/05/2024 23:32:26 EEST - 3.15.2.13

ρίας μὴ οὔσης τῶν κατ᾽ ἐντολὴν καὶ κατ᾽ αὐτοὺς τούτους, τοὺς περὶ τὸν μακαριώτατον Χρύσανθον (ἐν τῷ προσκυνηταρίῳ τῆς Ἱερουσαλήμ), οἱ ταύτην ὀνησίμως εἴτ᾽ οὖν ἐπικερδῶς καὶ τοῖς τῷ ζωοδόχῳ τάφῳ προσεδρεύουσι καὶ τοῖς κωλυομένοις κωλύοντες οὐ τῶν παρ᾽ ἐντολήν τι ποιούντων ἢ λεγόντων εἰσίν, ὡς μηδεμίαν ἐντολὴν ἐντεῦθεν λύοντες, οὐκ ἄρα τοῖς παρὰ κανόνα, ἵνα μὴ λέγω ἀλόγοις ἐπιτιμίοις, ἐνέχονται. Ἄρα γὰρ ματαία ὡς ὄρνεα πετόμενα καὶ στρουθοὶ οὐδενὶ ἐπελεύσεται κατὰ τὸν παροιμιαστήν. Δειχθήτω πρότερον ἐντολὴ οὖσα ἡ εἰς Ἱεροσόλυμα προσκυνήσεως χάριν ὁδοιπορία, εἶθ᾽ οὕτως ἐπιτιμάσθωσαν οἱ ταύτῃ προσιστάμενοι, μᾶλλον δὲ πολὺ πρὸ τούτων σύμπαντες οἱ τὴν ὁδοιπορίαν ἀποδημεῖν ἐνὸν ἑκοντὶ παραιτούμενοι, εἴ γε τὰ τῆς ἐντολῆς οὐχ οἱ μέν, οἱ δὲ οὔ, ἀλλὰ σύμπαντες ἁπλῶς ἐκπληροῦν ἀπαραιτήτως ὀφείλουσι, ἔστ᾽ ἂν δὲ καὶ ὑπ᾽ αὐτῶν τούτων τῶν ἐπιτιμώντων οὐ τῶν κατ᾽ ἐντολὴν οὖσα ὁμολογεῖται ἀργεῖ καὶ τὰ ἐπιτίμια, ἐπεὶ εἴη ἂν πρὸ πάντων καὶ μετὰ πάντων ὁ μέγας τῆς ἐκκλησίας φωστήρ, ὁ Νύσσης, λέγω, Γρηγόριος, ἐπιτιμώμενος, ὁ ὁπωσδήποτε κωλύων τὴν εἰς Ἱεροσόλυμα ἀποδημίαν.

Κ. ΔΥΟΒΟΥΝΙΩΤΗΣ

Institutional Repository - Library & Information Centre - University of Thessaly
11/05/2024 23:32:26 EEST - 3.15.2.13